Quam enim fallax sit Retractationis fides, etiam ubi vera praebere videatur, hoc unum exemplum abunde docebit. Vocabula τρῦπα et ὀπή, quae [55,25. 27. 32] habet R, cum rei, de qua agitur, magis esse apta quam recensionis Π 55,7. 8. 9. 16. 56,1 vocabulum θυρίς, tum a Syro, qui (p. 30,16. 18. 21. 29) usus est vocabulo, quod per *Loch* Baethgen reddidit, confirmari videntur. Frustra tamen conicias aut τρῦπα aut ὀπή aut utrumque esse genuinum; cum enim [56,25] in eadem narratione de eadem ipsa re θυρίς vocabulo etiam metaphrastam usum esse animadverteris, intelleges eum non Andreopuli verba fidelius quam Π servasse, sed solito suo mutandi variandique studio ductum forte fortuna hic felicius quam alibi retractandi negotio functum esse.

Cur tamen Jernstedt Retractationem a sua editione abesse noluisset qualemque eam, Boissonadii et Eberhardi copiis contentus, exhibere in animo habuisset, ipse loco quodam adversariorum suorum dilucide significavit. «Retractationem» inquit «a Boissonadio editam subieci, non quo eam emendatiorem proponerem, sed primum ut legentibus comparationem eius cum prototypo faciliorem redderem, deinde vero quoniam etiam in Retractatione testimonium ad recensendam Michaelis Andreopuli versionem non prorsus inutile continetur. Testimonia autem, quod dicitur, aut sint ut sunt, aut ne sint, eius rei immemores sunt, quibus acta et diplomata emendatiora edenda videntur. Nonnullas Boissonadii, plures Eberhardi coniecturas tacui, quia vel me tacente ex comparatione cum prototypo facta apparet nihil emendandum esse».

In exitu praefationis, quae multo sane et rectius et disertius scripta esset, si ipsi eam scribere per fata licuisset, acturus erat vir recti et iusti amantissimus debitas gratias viris doctis, a quibus in editione instruenda erat adiutus, Carolo Krumbacher et Iohanni Graeven, quorum uterque iam eodem quo ille abierunt,

Michaeli Rostovzev, Basilio Barthold, Sergio Oldenburg Petropolitanis, Romano Loeper nunc Sebastopolitano, Michaeli Krašeninnikov Jurievensi.

Ex quibus Oldenburg, collega carissimus officiorumque communione mihi coniunctissimus, pro sua benignitate atque abundanti omnium rerum, quae ad narrationes populares pertinent, scientia meam quoque operis partem consiliis utilissimis eximie sublevavit. Et illi magnam gratiam me habere et Georgio Pasquali ac Nicolao Popov, viris humanissimis, qui de aliquot locis codicum, alter Vaticani, alter Mosquensis, a me rogati certiorem me perquam benevole fecerunt, libentissime profiteor.

Petrus Nikitin.

COMPENDIA:

Π = recensio prototypa.

Eius codices:

A = Mosquensis 298,

B = Vaticanus 335,

C = Monacensis 525.

S = exemplar Syriacum a Baethgeno editum et germanice conversum.

R = Retractatio.

Eius codices:

D = Parisinus Bibl. Nat., supplementi graeci 105 (qui Boissonadio et Eberhardo fuit A),

E = Parisinus Bibl. Nat. 2912. (B Boiss. et Eberh.),

F = Vindobonensis hist. Gr. 120. (V Eberh.).

ΒΙΒΛΟΣ

ΣΥΝΤΙΠΑ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ

Ἡ ἀρχὴ τῆς βίβλου ἔνε οὕτως·

Τοῦ μυθογράφου Συντίπα κατὰ Σύρους,
μᾶλλον δὲ Περσῶν τοὺς σοφοὺς λογογράφους,
αὕτη πέφυκεν ἣν βλέπεις δέλτος, φίλε.
ἣν καὶ συρικοῖς τοῖς λόγοις γεγραμμένην
εἰς τὴν παροῦσαν αὐτὸς ἑλλάδα φράσιν
μετήγαγόν τε καὶ γέγραφα τὴν βίβλον,
τῶν γραμματικῶν ἔσχατός γε τυγχάνων,
Ἀνδρεόπωλος Μιχαὴλ, Χριστοῦ λάτρις,
ἔργον τεθεικὼς προστεταγμένον τόδε
παρὰ Γαβριὴλ τοῦ μεγιστάνων κλέους,
δουκὸς σεβαστοῦ πόλεως μελωνύμου,
ὅς ἐστι Χριστοῦ θερμὸς ὄντως ἱκέτης.
ὃς καὶ διωρίσατο γραφῆναι τάδε,
ὅτι γε μὴ πρόσεστι Ῥωμαίων βίβλοις.
ἡ συγγραφὴ γὰρ ἥδε τοὺς κακεργάτας
διασύρει μάλιστα καὶ πρὸς τῷ τέλει
πράξεις ἐπαινεῖ τὰς καλῶς εἰργασμένας.

Hoc principium libri e codice Mosquensi, qui solus id servasse videtur, edidit Matthaei Lipsiae a. 1781, Syntipae fab. p. VIII. Cf. simulacrum codicis infra adnexum.

1 οἱ ἀρ (χ′ supra) ib. οὗτος 2 immo Τοῦ φιλοσόφου 3 μάλλον ib. τοῦς σοφοῦς (Matthaei ci. τοῦ σοφοῦ λογογράφου, ego praetulerim τοὺς σοφοὺς μυθογράφους usus varia lectione quae in versum superiorem male irrepsit) 5 Ἧν ib. συρικῆς 6 Εἰς τὴν παρούσαν ib. ἐλάδα 7 τῆν 8 Τογραμματικόν ib. γὲ 9 Ἀνδρεὄπωλος μϊχὰῆλ ib. λάτρης 10 τεθεικῶς πρὸστεταγμένον 11 Παραγαβριὴλ ib. μεγιστάνων Coraes] μεγιστάνου 13 Ὡς ἐστὶν ib. θερμῶς ib. οἰκέτης (οἰκέτης quominus scribamus obstat θερμός) 14 Ὥς καὶ διῶρίσατο 15 πρόσὲστι ρωμαίων 16 συγγραφῆ ib. ἡδε τοῦς 17 Διάσύρι 18 τᾶς

Πρόλογος τοῦ πρωτοτύπου ἤτοι τοῦ ἀντιβολαίου, τῆς συρικῆς βίβλου τῆς λεγομένης Συντίπα τοῦ φιλοσόφου, ἔχων αὐταῖς λέξεσιν οὕτως·

Διήγησις ἐμφιλόσοφος, συγγραφεῖσα παρ' ἡμῶν περὶ τοῦ τῶν Περσῶν βασιλέως Κύρου καὶ τοῦ γνησίου τούτου παιδὸς καὶ τοῦ αὐτοῦ διδασκάλου Συντίπα, ἔτι δὲ καὶ περὶ τῶν τοῦ βασιλέως ἑπτὰ φιλοσόφων καὶ τῆς μιᾶς αὐτοῦ τῶν ἄλλων πονηρᾶς καὶ ἀναιδοῦς γυναικὸς καὶ ἧς τῷ βασιλεῖ κατὰ τοῦ υἱοῦ προέθετο διαβολῆς καὶ σκεωρίας οἷα τούτου μητρυιὰ τυγχάνουσα. ἥντινα διήγησιν προϊστόρησε Μοῦσος ὁ Πέρσης πρὸς τὴν τῶν ἐντυγχανόντων ὠφέλειαν.

Βασιλεύς τις ἦν Κῦρος ὀνόματι, ᾧ καὶ ὑπῆρχον γυναῖκες ἑπτά. ἦν δὲ ὁ τοιοῦτος ἄπαις καὶ τέκνων ἔρημος· ὅθεν καὶ παιδοποιίας ἐφιέμενος θερμότατα τὸ θεῖον ἐξελιπάρει τοῦ τῆς ἀτεκνίας λυθῆναι δεσμοῦ. ἐπὶ πολὺ γοῦν περὶ τούτου

RETRACTATIO.

Πρόλογος τοῦ λεγομένου Συντίπα τοῦ φιλοσόφου, μεταβληθεὶς ἐκ τῆς συριακῆς βίβλου ὡς εἶχεν αὐταῖς λέξεσιν εἰς τὴν ἑλλάδα γλῶτταν.

Διήγησις ἐμφιλόσοφος, συγγραφεῖσα παρ' ἡμῶν περὶ τοῦ τῶν Περσῶν βασιλέως Κύρου καὶ τοῦ γνησίου τούτου παιδὸς καὶ τοῦ διδασκάλου αὐτοῦ Συντίπα καὶ περὶ τῶν τοῦ βασιλέως ἑπτὰ φιλοσόφων καὶ τῆς μιᾶς αὐτοῦ πονηρᾶς καὶ ἀναιδοῦς γυναικός, καὶ πῶς τὴν κατὰ τοῦ υἱοῦ τοῦ βασιλέως διαβολὴν κατεσκεύασεν ἡ μητρυιὰ αὐτοῦ. ταύτην οὖν τὴν διήγησιν προϊστόρησε Μοῦσος ὁ Πέρσης πρὸς τὴν τῶν ἀναγινωσκόντων ὠφέλειαν.

Βασιλεύς τις ἦν Κῦρος ὀνόματι, ᾧ καὶ | ἦσαν γυναῖκες ἑπτά. ἦν δὲ ἄπαις· ὅθεν P. 4 Boiss.
καὶ παίδων ὀρεγόμενος θερμοτάτως παρεκάλει τὸ θεῖον τοῦ τῆς ἀπαιδείας λυθῆναι δεσμοῦ. ἐπὶ πολὺ γοῦν περὶ τούτου δεόμενος ἔτυχε τῆς ἐφέσεως, καὶ γεννᾷ οὗτος

---

4 Διήγησις et infra 8 διήγισιν A, qui saepe habet in mediis vocibus spiritum modo asperum modo lenem 5 χήρου A 5 sq. συντήπα A, σΐντύπα B 6 μίας A 7 ἧς] εἶς τω A, εἰς τὸ B 8 σκεώρίας A prope constanter (σχευωρία nunquam legitur in ABC) ib. μητρυὰ B, μιτρία A 10 χύρος ὀνόματι AB 11 τοιοῦτος] τοιοῦ A 11 sq. ἐφιέμενος θερμώτατα τὸ θήον A, ἐφυέμενος θερμότατος τὸ αγαθον θεῖον paenultima voce erasa B 13 F titulum praemittit «non eadem quidem sed antiqua manu» scriptum: Ἱστορικὸν Συντίπα τοῦ φιλοσόφου ὡραιότατον πάνυ 15 Διήγησις φιλοσόφου EF 21 χύρος F

δεόμενος ἔτυχεν τῆς ἐφέσεως, καὶ τούτῳ υἱὸς γεννᾶται, ὃς καὶ ἀνατρεφόμενος ηὔξανέ τε καλῶς καὶ ὡς δένδρον εὐθαλὲς ἐπεδίδου τῇ ἡλικίᾳ. τοῦτον τοίνυν τῆς πρώτης ἤδη ἥβης τοῦ τέλους ἁψάμενον διδασκαλείῳ παραδέδωκεν ὁ πατὴρ πρὸς τὸ τοῖς σοφιστικοῖς ἐκπαιδεύεσθαι μαθήμασι. τριετῆ δὲ διατρίψας ἐν τούτοις χρόνον οὐδὲν τούτων ὅλως ἐκαρπώσατο. εἶτα διαπορούμενος ἐπὶ τούτῳ ὁ βασιλεὺς ἔλεγεν ὡς· εἰ ἐπὶ μακρούς, τὸ τοῦ λόγου, ἐνιαυτοὺς παρὰ τῷδε τῷ διδασκάλῳ ὁ παῖς μου προσμείνοιεν, οὐδὲν τὸ παράπαν ἐξ αὐτοῦ μαθήσεται· ἀλλ' ἐκδώσω αὐτὸν Συντίπᾳ τῷ φιλοσόφῳ, ὅτιπερ ἀκήκοα ὡς μάλα σοφιστικὸς ὁ ἀνὴρ καὶ τῶν ἄλλων ἁπάντων τοῖς λόγοις ὑπερτερῶν. καὶ ταῦτα εἰπὼν εὐθὺς τὸν Συντίπα μετεκαλέσατο. καὶ φησὶ πρὸς αὐτόν· πῶς δοκεῖ σοι καὶ μέχρι πόσου τὸν ἐμὸν παῖδα ἐκπαιδεῦσαι, φιλόσοφε; ὁ δὲ ἔφη τῷ βασιλεῖ ὡς· τὸν παῖδά σου ἑτοίμως ἔχω ἐπὶ μῆνας ἓξ καὶ μὴ περαιτέρω τὸ σύνολον ἐκδιδάξαι καὶ ἐκπαιδεῦσαι καὶ τοσαύτης ἐμπλῆσαι φιλοσοφίας ὡς μή τινα ἕτερον εὑρίσκεσθαι τοῦ σοῦ υἱοῦ φιλοσοφώτερον. εἰ δὲ μὴ οὕτως ἔχοντα τοῦτον ἐντὸς τῆς διορίας παραστήσω
A f. 253 σοι, ἀπολέσθω μου τὸ ζῆν, ὦ βασιλεῦ, καὶ ἡ πᾶσά | μου ὕπαρξις τῷ σῷ κράτει προσγενέσθω· ἄτοπον γὰρ τηλικαύτην εὐθαλῆ ἐπαρχίαν καὶ τοιοῦτον βασιλέα

RETRACTATIO.

υἱόν, ὃν καὶ ἀνατρέφων βασιλικῶς ἐξεπαίδευε· καὶ ὡς δένδρον ἄριστον ηὔξηνε τῇ ἡλικίᾳ. τοῦτον τοίνυν τὸν υἱὸν ὁ βασιλεὺς ἤδη τῆς πρώτης ἡλικίας κἂν τῷ τέλει ἁψάμενον τῷ διδασκαλείῳ παρέδωκε, ἵνα τοῖς σοφιστικοῖς μαθήμασιν ἄριστος γένηται διατρίψας. τρία δὲ ἔτη διανύσας ἐν τοῖς μαθήμασιν οὐδὲν ἐκαρπώσατο. καὶ ὁ βασιλεύς· εἰ καὶ πολλοὺς χρόνους παρὰ τῷ διδασκάλῳ ὁ υἱός μου ἐσχόλασε, καὶ τὸ παράπαν οὐδὲν ἐπαιδεύθη· ἀλλ' οὖν ἐπάναγκες δοῦναι αὐτὸν Συντίπᾳ τῷ φιλοσόφῳ, ὃν ἀκήκοα μάλα σοφὸν ἄνδρα ὑπάρχειν. καὶ ταῦτα εἰπὼν ὁ βασιλεὺς εὐθὺς Συντίπαν μετεκαλέσατο. καὶ φησὶ πρὸς αὐτόν· πῶς δοκεῖ σοι τὸν ἐμὸν υἱὸν ἐκπαιδεῦσαι, φιλό-
p. 5 σοφε, φιλοσόφως; ὁ δὲ Συντίπας ἔφη ὡς· ἑτοίμως ἔχω, βασιλεῦ· ἐπὶ μησὶν | ἓξ τοῦτον ἐκπαιδεύσας πάσης ἐμπλήσω φιλοσοφίας, ὡς μὴ τοῦ παιδὸς εὑρεθῆναί τινα φιλοσοφώτερον. εἰ δὲ ἐντὸς τοῦ τοιούτου χρόνου τὸν σὸν υἱὸν οὐ φιλόσοφον ἄριστον παραδώσω σοι, σύ, βασιλεῦ, χώρει κατὰ τῆς ἐμῆς ζωῆς, καὶ πᾶς ὁ βίος μου τῷ ταμιείῳ σου προσκληρούσθω. ἄτοπον γὰρ ἂν εἴη τοιοῦτον εὐτυχῆ βασιλέα καὶ τοιαύτην

---

1 ἔτυχε B 2 δένδρω B ib. τῆς om. B 3 πρῶτης A, πρῶτον B ib. διδασκαλίω AB 4 τοῖς] τῆς B 5 τούτων] pro priore syllaba το παράπαν B pr. ib. ἐπὶ] ἐν B 5 sq. ἔλεγεν om. B 6 ἐυεπῒμακρούς B 7 προσμήνοιεν A 8 σιντίπα A ib. ὅτιπερ] ὅπερ B ib. μαλλα A 9 ὑπέρτερων A. Vv. καὶ τῶν ἄλλων — ὑπερτερῶν confirmat Syr. («und ausgezeichnet vor allen Philosophen» Baethgen) ib. σιντίπα A 11 ἐκπαιδεύσαῖ A ib. φιλοσόφως B. Syrus neque φιλοσόφως habet neque φιλόσοφε, retractator utrumque 12 συνόλον fortasse A 13 τοσαύτην A pr. ib. ἐκπλῆξαι B 13 sq. τοῦτου ὑιοῦ φιλοσοφωτερονA, τούτου φιλοσοφότ(ε)ρ(ον) B 14 δὲ post ἐντός addit B 15 ὦ βασιλεῦς A 16 vv. τοιοῦτον βασιλέα a πλουτοῦσαν suspensa 17 ηὔξυνε D 19 διδασκαλίω F 20 ἐνδιατρίψας Eberhard, sed videtur διατρίψας potius fuisse varia lectio ad διανύσας in margine adscripta 21 ἐσχόλασε ὁ υἱός μου D 22 ἐπανάγκες D, idem post (p. 5,25) ἐπανάγκαις ib. τοῦ φιλοσόφου D 23 μᾶλλον σοφῶν D 25 ἔχων D 26 sq. φιλοσοφότερον F 28 ταμείω E corr., παλαταμιείω D

πλουτοῦσαν, πάσης συνέσεως καὶ ἀγχινοίας ἀνάπλεων, μὴ φιλόσοφον ἄνδρα κεκτῆσθαι καὶ αὐτὴν δὲ τὴν ἰατρῶν τέχνην ἄκρως ἐξησκημένον· εἰ γὰρ μὴ τοιοῦτος ἀνὴρ ἐν ἐπαρχίᾳ τοιαύτῃ ἐπιχωριάζοι, οὐ χρή τινα τὸ παράπαν ἐνδι|ατρί- B f. 59 βειν αὐτῇ· μεμύημαι γὰρ ὡς οἱ βασιλεῖς οὐδὲν τοῦ καυστικοῦ πυρὸς τῷ θυμῷ διαφέρουσι καὶ δεῖ τούτοις καὶ φιλοσόφους ἄνδρας προσομιλεῖν, ἵνα μὴ τῷ ζέοντι τῆς ὀργῆς παρὰ τὸ δέον τινὰ τῶν ὑπηκόων ἀναλίσκωσιν. εἰ τοίνυν, ὦ βασιλεῦ, καθάπερ σοι ἐπαγγέλλομαι τέλειον ἐν φιλοσόφοις τὸν υἱόν σου ἀποκαταστήσω σοι, χρὴ καὶ τὴν σὴν βασιλείαν, εἴ τι δὴ καὶ παρ' αὐτῆς ἐπιζητήσω, φιλοτίμως μοι παρασχεῖν. ὁ δὲ βασιλεὺς τῷ φιλοσόφῳ ἔφη· τί ἂν εἴη τὸ ἐπιζητούμενον; λέγε μοι, καὶ εἴπερ μοι πρόσεστιν εὐθέως σοι τοῦτο καθυπόσχωμαι· εἰ δὲ τῶν ἀδυνάτων μοι ἔσται, οὐκ ὀφειλέτης σοι περὶ πράγματος ἀνυπάρκτου γενήσομαι. ὁ δὲ Συντίπας εὐήκοον καὶ καταπειθῆ τῷ ἑαυτοῦ λόγῳ ὡς ἐν παραδείγματι τὸν βασιλέα καθιστῶν, ὦ βασιλεῦ, ἔφη, ὅπερ σοὶ παρά τινος οὐ χαίρῃ προσγενέσθαι, μηδὲ σὺ ἑτέρῳ τοῦτο πεποιηκέναι θελήσῃς. αὖθις δὲ ὁ βασιλεὺς τῷ τοιούτῳ λόγῳ λοιπὸν συγκατανεύων καὶ χρησταῖς ταῖς ἐλπίσι τὸν φιλόσοφον ἐπερείδων, πᾶν εἴ τι, φησίν, αἰτήσει παρ' ἐμοῦ, ἑτοίμως καί σοι δοθήσεται. καὶ

RETRACTATIO.

ἐπ' αὐτῷ ἐπαρχίαν, πάσης συνέσεως γέμουσαν καὶ νοημάτων, μὴ φιλόσοφον βασιλέα κεκτῆσθαι, ἀλλ' οὐδὲ τὴν ἰατρικὴν ἐπιστήμην μὴ εἰδότα. εἰ γὰρ μὴ τοιούτου βασιλέως ἐπιστατοῦντος τοῖς πράγμασιν ἐν ἐκείνῳ τῷ τόπῳ, οὐ δεῖ τινα τῶν ἁπάντων διατρίβειν ἐν ἐκείνῳ τῷ τόπῳ. ἔμαθον γάρ, ἔμαθον ὡς οὐδὲν οἱ βασιλεύοντες τῷ θυμῷ τοῦ καυστικοῦ πυρὸς διαφέρουσι καὶ δεῖ γε τούτους καὶ φιλοσόφους εἶναι, ὅσον δυνατόν, καὶ φιλοσόφους ἄνδρας προσομιλεῖν καὶ τούτων ἀκούειν, ὥσπερ Ἀλέξανδρος, ἵνα μή τινων ὑποβολαῖς περὶ τὸ ὑπήκοον ὠμότεροι τῶν ἰδιωτῶν ἀναδειχθῶσιν. εἰ τοίνυν, ὦ βασιλεῦ, καθὼς σοι ἐπαγ|γέλλομαι, τέλειον τὸν υἱόν σου ἀποκαταστήσω φιλό- p. 6 σοφον, καὶ τὴν σὴν βασιλείαν ἐπάναγκες φιλοτιμήσασθαι ἐπ' ἐμὲ φιλοτίμως καὶ βασιλικῶς. ὁ δὲ βασιλεὺς ἔφη πρὸς ταῦτα· τί ἂν ᾖ σοι τὸ ποθούμενον; καὶ εἴπερ ὑπάρχει μοι ῥᾴδιον, τοῦτό σοι δώσω· εἰ δὲ ἀδύνατόν ἐστι τὸ ζητούμενον, οὐκ ἔχω σοι δοῦναι. ὁ δὲ Συντίπας ἀκούσας ἀπεκρίνατο τῷ βασιλεῖ ὡς ἐν παραδείγματι· ἄκουσον, ὦ βασιλεῦ· ὅπερ σὺ παρά τινος οὐ ῥᾳδίως ἔχεις λαβεῖν, μηδ' αὖ πάλιν σὺ ἑτέρῳ δοῦναι θελήσεις. τότε ὁ βασιλεὺς τῷ λόγῳ τούτῳ συγκαταβὰς ἦν καὶ μεγάλαις ἐλπίσι καὶ χρησταῖς τὸν φιλόσοφον ἐπληροφόρει· ὅ τι ἄν, φησίν, αἰτήσῃς παρ' ἐμοῦ, ἕξεις δοθησόμενον. καὶ τούτων οὕτως παρ' ἀμφοτέρων λεχθέντων, συμβόλαιον βεβαιώσεως ὁ φιλό-

3 ἐν ἐπαρχίᾳ] ἐναπαρχία B ib. ἐπὶχωρηάζοι A, ἐπιχωριάζει B 5 τὸ ζέον B, τὸ ζέων A 6 ἀναλίσχωσι B 7 χαθάπέρ A ib. ἐπαγγέλομαι AB 8 ἤ τι δὴ A, εἴ τι δὲ B 9 μοι om. B ib. εἴη] ἦ B 10 πρόσεστι B ib. εὐθεώς ut vid. A 11 ἔσταί A 12 σιντήπας A, συντύπας B ib. εὐήκοὸν A ib. καὶ καταπειθὴ A, καταπειθεῖ B 13 σοι A, σὺ B ib. οὐχάιρῆ A, οὐχεύρεῖ B 14 μὴδὲ (hoc etiam B) σοι ἐστέρω A ib. θελήσεις B 15 συγκατανέ|βων A, qui saepius utitur β (u) littera pro υ in diphthongis 16 ἑτοίμωσως σοι καὶ δοθήσεται B 18 sq. τοιοῦτον ἔτη βασιλεὺς D 26 ἦ om. D 29 μὴ δ' F saepe

τούτων οὕτως παρ' ἀμφοτέρων πρὸς ἀλλήλους λεχθέντων, συμβόλαιον ὁ φιλόσοφος τῷ Κύρῳ ἐξέθετο, ἐν ᾧ δὴ καὶ ἀνατέτακτο ὡς μετὰ μῆνας ἓξ καὶ ὥρας δύο εἰς τέλος δεδιδαγμένος ὁ παῖς τῷ βασιλεῖ παρ' αὐτοῦ ἀποδοθήσεται· εἰ δὲ πλέον τοῦ ἐμπροθέσμου τούτου καιροῦ τὰ τῆς συνθήκης παραταθήσεται, κεφαλικῇ ἐκτομῇ τὸν Συντίπαν ὑποβληθῆναι.

Ἐπὶ τούτοις τοιγαροῦν ὁ βασιλεὺς τὸν ἑαυτοῦ υἱὸν εἰς χεῖρας τοῦ φιλοσόφου παρακατέθετο. παραλαβὼν δὲ ὁ Συντίπας τὸν υἱὸν τοῦ βασιλέως ἐκ τῶν χειρῶν αὐτοῦ ἐπὶ τὴν ἑαυτοῦ οἰκίαν ἀπήγαγεν. εἶτα ἐν πρώτοις οἰκίσκον εὐρυχωρότατον νεωστὶ αὐτῷ ἐδείματο, καὶ τοῦτον ἔσωθεν εὐκόσμως περιχρίσας καὶ λευκότητι καταλαμπρύνας πᾶν εἴ τι τὸν νέον ἐκδιδάξαι ἔμελλεν ἐν τοῖς τοῦ οἰκίσκου τοίχοις εὐθὺς ἀνιστόρησε. μετὰ δὲ ταῦτα φησὶ πρὸς αὐτόν· πᾶσά σου ἡ διαγωγὴ καὶ ἡ δίαιτα, ὦ νεανία, ἐν τούτῳ ἔστω τῷ οἰκήματι, ἄχρις ἂν καλῶς ἐκμάθῃς ὅσαπερ ἐν
A f. 254 τοῖς αὐτοῦ τοίχοις παρ' ἐμοῦ | ἀνιστόρηται. ἔκτοτε γοῦν ὁ φιλόσοφος τῷ παιδὶ παρεκάθητο, κἀκεῖσε αὐτῷ διόλου συνδιαιτώμενος ἐξεδίδασκεν αὐτὸν τὰ ἱστορηθέντα (ἥ τε βρῶσις αὐτῶν καὶ πόσις παρὰ τοῦ βασιλέως ἐστέλλετο), καὶ τούτου μεγάλως ἐπιμελησάμενος μέχρι τῆς τῶν ἓξ μηνῶν καὶ μόνων συμπληρώσεως τὰ τῆς διδασκαλίας ἀπήρτισεν, ὡς μηδεμίαν ὥραν περαιτέρω ταύτης τῆς διορίας τὸ πέ-

RETRACTATIO.

σοφος τῷ Κύρῳ ἐξέθετο, ἐν ᾧ δὴ καὶ ἐγέγραπτο ὡς μετὰ μῆνας ἓξ καὶ ὥρας ἓξ εἰς τέλος δεδιδαγμένος ὁ παῖς τῷ βασιλεῖ παρ' αὐτοῦ ἀποδοθήσεται· εἰ δὲ πλέον τοῦ συμ-
p. 7 φωνημένου καιροῦ οὐ τὸν υἱὸν τοῦ βασιλέως | ἀποδώσει φιλόσοφον, κεφαλικῇ τιμωρίᾳ ὁ Συντίπας ἔσται ὑπεύθυνος.

Ἐπὶ τούτοις ὁ βασιλεὺς τὸν ἑαυτοῦ υἱὸν εἰς χεῖρας τοῦ φιλοσόφου παρέθετο. καὶ εἰς τὴν ἑαυτοῦ οἰκίαν εἰσήγαγεν. ἀνοικοδόμησε δὲ τῷ παιδὶ τοῦ βασιλέως νέον οἶκον εὐρύχωρον, καὶ τὰ ἐντὸς τοῦ οἴκου καταλαμπρύνας ἱστόρησεν ἐν τοῖς τοίχοις τοῦ οἴκου ὅσα διδάξαι τὸν παῖδα ἔμελλε. καὶ ἐντὸς τοῦ οἴκου τὸν νέον καθίσας, φησὶν ὁ διδάσκαλος τῷ νέῳ βασιλεῖ· πᾶσά σου ἡ ἀναστροφὴ καὶ ἡ δίαιτα ἐν τούτῳ ἔστω σοι τῷ οἰκήματι, ἕως ἂν καλῶς ἐκμάθῃς ὅσα ἱστόρηται ἐν τοῖς τοίχοις. ἔκτοτε γοῦν ὁ φιλόσοφος τῷ παιδὶ παρεκάθητο, καὶ δι' ὅλου μετ' αὐτοῦ συναναστρεφόμενος ἐδίδασκεν αὐτῷ τὰ ἱστορηθέντα, ἔχων πᾶσαν χρείαν καὶ ἐπιμέλειαν ἐκ τοῦ βασιλέως. ἐπιμεληθεὶς οὖν τοῦ νέου μετὰ μεγάλης σπουδῆς ὁ φιλόσοφος ἐντὸς τῆς διωρίας τὰ τῆς διδασκαλίας ἀπήρτισε. καὶ δὴ μεμάθηκεν ὁ παῖς ἅπερ οὐδεὶς τῶν παίδων ἕτερος

---

2 sq. «post sex menses et tres horas» (non «post tres annos et sex menses») Syrus teste Bartholdo 4 ἐμπροσθέσμου A ib. τὰ] καιτὰ B, κατὰ A 6 χεῖρα A 7 cruci ante παραλαβὼν manu rec. positae respondent in margine haec verba eadem rec. manu scripta: εἶτα παραλαβων ὁ σιντίπας τοῦ βασιλέως τὸν υἱόν· A 8 ἐπήγαγεν B ib. οἰκΐσκος A 9 λευκό^τ^ (= λευκότατα?) καταλπρύνας B 10 τοίχοις om. B 12 τῷ om. B ib. ἂν post ὅσαπερ (ὅσάπερ A) iteratum B 13 τεῖχοις B, τύχεις A ib. γοῦν] οὖν B 14 αὐτῷ om. B 15 ἐστέλετο B, ἔστελετο A 16 μέχρις τοῖς τῶν ἓξ καὶ μόνον μηνῶν B ib. τὰ τῆς] τα A 17 ἀπήρτησε A, ἀπήρτησε B ib. παρετέρω ταῦτης τῆς διόρίας τὸ (ita A) om. B 18 γέγραπτο D 19 δεδιδασκώμενος D 19 sq. συμφ. — τοῦ om. D 23 ante καὶ quaedam intercidisse videntur 24 τοῖς om. DE 28 διόλου F plerumque 30 δωρίας D

ρας αὐτῶν παρατεῖναι. καὶ δὴ μεμάθηκεν ὁ παῖς ἅπερ οὐδεὶς ἕτερος | μυηθῆναι B f.60 δύναται. πρὸ γοῦν μιᾶς ἡμέρας τοῦ ἐμπροθέσμου καιροῦ ἐμηνύθη τῷ φιλοσόφῳ παρὰ τοῦ βασιλέως λέγοντος· τί ἄρα τῶν ὑποσχεθέντων παρὰ σοί ἐστιν; ὁ δὲ ἀντιμηνύει τῷ βασιλεῖ ὡς· εἴ τί σοι ποθητὸν καὶ θυμῆρες καθέστηκεν, ὦ κράτιστε βασιλεῦ· αὔριον γὰρ τὸν παῖδα ἐνέγκω σοι ὥρᾳ τῆς ἡμέρας δευτέρᾳ καὶ ὄψει αὐτὸν ὡς ἐθέλει καὶ ἱμείρεται τὸ κράτος σου. ὁ δὲ βασιλεὺς ἐπὶ τῇ ἀγγελίᾳ εὔθυμος λίαν καὶ περιχαρὴς καὶ εὔελπις γίνεται. λέγει οὖν πρὸς τὸν νέον ὁ φιλόσοφος· ἔδοξέ μοι ταύτῃ τῇ νυκτὶ συζήτησιν ποιῆσαι τῆς ἀποκειμένης τῇ γενέσει σου τύχης καὶ περὶ ταύτης ἀκριβῶς ἀστρολογῆσαι, ὡς ἂν εἰ ἔστιν σοι συμφέρον, οὕτως τῷ πατρί σου παρ' ἐμοῦ προσαχθήσῃ αὔριον. τὴν οὖν τοιαύτην ἀστρολογικὴν συζήτησιν ὁ φιλόσοφος ποιησάμενος ἔγνω ἐσύστερον ὅτι οὐκ ἔστιν συμφέρον προσαχθῆναι τῷ βασιλεῖ τὸν υἱὸν αὐτοῦ, εἰ μὴ ἄλλαι ἑπτὰ ἡμέραι μετὰ τὸν ὁρισθέντα παρ' αὐτοῦ τοῦ φιλοσόφου καιρὸν τῷ παιδὶ ἀναλωθῶσιν· εἰ γὰρ μὴ κἀκεῖναι παρέλθωσι, κίνδυνος περὶ τὸ ζῆν τῷ παιδίῳ προσγενήσεται. ταῦτα γοῦν τῇ νυκτὶ μετὰ τὴν ἀστρολογικὴν συζήτησιν ὁ φιλόσοφος κατανοήσας συνεχύθη τῇ λύπῃ. ἰδὼν δὲ αὐτὸν ὁ τοῦ βασιλέως υἱὸς οὕτω δεινῶς ἀθυμοῦντα ἐπηρώτα λέγων· ἵνα τί οὕτω στυγνὸς καὶ κατηφὴς, ὦ διδάσκαλε, κατέστης; ὁ δὲ Συντίπας τὴν αἰτίαν δεδήλωκε τῷ παιδί. καὶ φησὶν ὁ παῖς πρὸς

RETRACTATIO.

ἠδυνήθη μαθεῖν. πρὸ γοῦν μιᾶς ἡμέρας τῆς | προθεσμίας ὁ φιλόσοφος ἐμηνύθη παρὰ p. 8 βασιλέως ὡς· τὰ τῆς ὑποσχέσεως ἐτέλεσας; ὁ δὲ ἀντέφησε τῷ βασιλεῖ ὡς· εἴ τί σοι ποθητὸν, ὦ βασιλεῦ κράτιστε, γέγονεν· αὔριον γὰρ ὁ σὸς υἱὸς ἔρχεταί σοι ἐν ὥρᾳ τρίτῃ τῆς ἡμέρας, καὶ ὄψει αὐτὸν καὶ χαρίσῃ. ὁ δὲ βασιλεὺς ἐπὶ τῇ ἀγγελίᾳ γενόμενος περιχαρὴς καὶ ἰδὼν τὸν υἱὸν λέγει αὐτῷ· ἥκεις, ὦ παῖ, γεγονὼς καθὼς ὁ διδάσκαλος εἶπεν; ὅτε καὶ ὁ νέος ἀπεκρίνατο· ἅμα τῷ διδασκάλῳ προσελθόντες τῷ κράτει σου ἀναγγελοῦμεν. ὅτε καὶ ὁ φιλόσοφος ἰδίᾳ λέγει τῷ νέῳ· ἔδοξέ μοι ταύτῃ τῇ νυκτὶ ποιῆσαι ζήτησιν περὶ τῆς ἀποκειμένης τῇ γεννήσει σου τύχης καὶ περὶ ταύτης ἀκριβῶς ἀστρολογῆσαι, ὡς ἂν εἰ ἔστι σοι συμφέρον, οὕτω πέμψω σε τῷ πατρί σου. τὴν γοῦν τοιαύτην ἀστρολογικὴν συζήτησιν ποιησάμενος ὁ φιλόσοφος εὗρεν ὅτι οὐκ ἔστι συμφέρον προσαχθῆναι τῷ βασιλεῖ τὸν υἱὸν αὐτοῦ, εἰ μὴ ἄλλαι ἑπτὰ ἡμέραι μετὰ τὸν ὁρισθέντα καιρὸν παρὰ τοῦ φιλοσόφου διέλθωσι· εἰ γὰρ μὴ οὕτω γέ|νηται, κίνδυ- p. 9 νος τῇ ζωῇ τοῦ παιδίου γενήσεται. ταῦτα τοίνυν ὁ φιλόσοφος καταμαθὼν ἀπὸ τῆς ἀστρολογικῆς μεθόδου, διεταράχθη. καὶ ἰδὼν αὐτὸν ὁ τοῦ βασιλέως υἱὸς δεινῶς λυπούμενον ἐπηρώτα λέγων· διδάσκαλε, τί οὕτω σκυθρωπὸς ἐγένου καὶ κατηφής; ὁ δὲ φιλόσοφος τὴν αἰτίαν δεδήλωκε τῷ παιδί. καὶ ὁ παῖς πρὸς αὐτόν· εἰ ἄρα τοῦτο ἀρέ-

---

1 αὐτὸν B ib. μυηθῆναι] μηθή·ναι A pr., corr. δηνηθή ναι 2 τοῦ ἑαυτοῦ προθέσμου A 4 ἀντιμηνήει A, ἀντιμηνήσας B ib. ἤ τί A, εἴ τις B 5 δευτέραν A 9 εἶ ἐστίν A, εἰ ἐστί B 10 πρὸσαχθήσει A 11 ὁ φιλ. ποιησ. A, ποιησ. ὁ φιλ. B ib. ὅτι inserui 12 οὐχέστῖν A, οὐχἔτι B 13 ἡμέρες A ib. παραὐτοῦ τοῦ φϊλοσόφου καιρὸν A, καὶρὸν παρὰ τοῦ αὐτοῦ φιλοσόφου B 13 sq. ἀναλωθῶσι B 14 παρέλθωσιν B 14 sq. προσγεννήσεται A 18 συντήπας A, συντύπας B 22 χαρήσῃ Boissonade 25 ἔδειξε E 27 ἔσται et ἔστι E

αὐτόν· εἰ ἄρα σοι ἀρεστόν ἐστι καὶ προστάττεις μοι, οὐδὲ παρ' ὅλον ἕτερον μῆνα τῷ βασιλεῖ ὁπωσοῦν προσφθέγξομαι, ἀλλ' ἐφ' ὅσον βούλῃ καιρὸν σιωπῶν ἔσομαι. ὁ δὲ φιλόσοφος πρὸς αὐτὸν, ἀλλὰ τῷ πατρί σου, ἔφη, συνθήκας ἐποιησάμην, ἃς ἀδύνατόν ἐστι παραβῆναί με τὸ σύνολον· συνεθέμην γὰρ αὐτῷ τῇ αὔριον ὑπ' ὄψιν αὐτοῦ παραστῆσαί σε καθ' ὥραν τῆς ἡμέρας δευτέραν καὶ οὐ A f. 255 βούλομαι αὐτῷ τὸ παράπαν διαψεύσασθαι. | πλὴν ἐγὼ μὲν τοῦ λοιποῦ κατακρύψω ἐμαυτὸν καὶ διάγων ἐν τῷ λεληθότι ἔσομαι, σὺ δὲ ὥρᾳ δευτέρᾳ τῆς αὔριον ἄπιθι πρὸς τὸν βασιλέα καὶ πατέρα σου, καὶ παράστηθι μὲν αὐτῷ κατὰ τὰς ἡμετέρας συνθήκας, μένε δὲ σιωπῶν ὑπὸ τὴν ἐκείνου ὄψιν καὶ παντελῶς ἄφωνος ἄχρι τῆς ἑτέρων ἑπτὰ ἡμερῶν παρελεύσεως.

Ἕωθεν οὖν πρὸς τὸν πατέρα ὁ παῖς κατ' αὐτήν που τὴν δευτέραν ὥραν παραγίνεται καὶ τοῦτον ἐπὶ τῆς γῆς προσκυνεῖ. ὁ δὲ βασιλεὺς ἐγγυτέρω τὸν υἱὸν πρὸς ἑαυτὸν καλέσας ποθεινότατα τοῦτον ἠσπάσατο καὶ προσφθέγγεσθαι αὐτῷ χαριέντως ἀπήρξατο· ὁ δὲ υἱὸς οὐδὲν ἐλάλει τῷ βασιλεῖ, ἀλλ' ἵστατο σιωπῶν καὶ B f. 61 ἀφθόγγως τῷ πατρὶ ἐνατενίζων. καὶ ὁ μὲν πατὴρ πάλιν τὸν παῖδα | ἀποκρίσεως χάριν ἐπηρώτα, ὁ δὲ παῖς ἄφωνος ὡσαύτως ἱστάμενος οὐδὲν τὸ παράπαν ἀπεκρίνετο, καίγε τοῦ βασιλέως ὑπὸ τῆς ἐπὶ τῷ υἱῷ περιχαρείας φαιδρὸν ἄγοντος σελέντιον καὶ ἐφ' ὑψηλοῦ τοῦ βήματος κεκαθικότος καὶ πᾶσαν τὴν ὑπ' αὐτὸν σύγκλητον εἰς ἀκρόασιν ὧν ἐδιδάχθη ὁ παῖς ἑαυτῷ παραστησαμένου. καταπλητ-

RETRACTATIO.

σκει σοι, ὦ διδάσκαλε, οὐδ' εἰς ὁλόκληρον μῆνα τῷ ἐμῷ πατρί τε καὶ βασιλεῖ ἀπολογήσομαι ὅλως, ἀλλ' εἰς ὅσον θέλεις καιρὸν ἔσομαι σιωπῶν. ὁ δὲ φιλόσοφος εἶπεν· ἀλλ' ὑπεσχέθην τῷ πατρί σου καὶ οὐ δύναμαι παραβῆναι τὰς ὑποσχέσεις· καὶ γὰρ τῇ αὔριον ἐπηγγειλάμην εἰς ὄψιν αὐτοῦ παραστῆσαί σε περὶ ὥραν δευτέραν τῆς ἡμέρας, καὶ οὐ δύναμαι ψεύσασθαι τούτῳ. διὸ καὶ ἀπὸ τὴν αὔριον ἐγὼ κατακρύψω ἐμαυτὸν ἔν τινι τόπῳ, καὶ σὺ κατὰ τὴν δευτέραν ὥραν τῆς αὔριον ἄπιθι πρὸς τὸν πατέρα σου τὸν βασιλέα, καὶ ἔμπροσθεν αὐτοῦ στῆθι καὶ ἔσο σιωπῶν καὶ παντελῶς ἄφωνος, ἕως οὗ ἄλλαι ἑπτὰ ἡμέραι παρέλθωσιν.

p. 10 | Ὅθεν καὶ πρωΐας ὁ παῖς κατὰ δευτέραν ὥραν παραγίνεται καὶ ἐπὶ γῆς αὐτῷ προσκυνεῖ. ὁ δὲ βασιλεὺς πλησιέστερον καλέσας αὐτὸν ἀσμένως ἠσπάζετο καὶ μετὰ χαρᾶς ἤρξατο προσλαλεῖν. ὁ δὲ υἱὸς οὐκ ἐλάλει τῷ βασιλεῖ, ἀλλ' ἵστατο σιωπῶν, ἀτενίζων μόνον εἰς τὸν πατέρα. καὶ ὁ μὲν πατὴρ πάλιν ἠρώτα τὸν παῖδα, ὁ δὲ παῖς πάλιν ἄφωνος ἵστατο. τότε ὁ βασιλεὺς, ὑπὸ περιχαρίας ἐφ' ὑψηλοῦ καθίσας τοῦ βήματος καὶ πᾶσαν τὴν σύγκλητον πρὸς ἀκρόασιν τῶν μαθημάτων τοῦ παιδὸς συγκαλέσας, ἐκπληττόμενος ἦν καὶ θαυμάζων ἐπὶ τῇ τοῦ παιδὸς ἀφωνίᾳ καὶ σιωπῇ, καὶ

---

1 ἀρεστόνεστὶ A, ἀρεστὸν ἐστὶν B ib. οὔδε A 2 ὀποσοῦν B ib. πρὸσφθέγξωμαι A 4 ἀδυνάτον ἐστή A, ἀδύνατον ἔστι B ib. συνόλον ut vid. A 5 σε] σοι B 9 ἄχρις B 11 κατάὐτὴν ποῦ A, κατὰ αὐτήν B 12 τούτω B 13 ποθηνότατα A, ποθηνότ(ε)ρ(ον) B 15 ἀφθογγως A, ἀφθόγγος B 16 sq. ἀπεχρίνατο B 17 περιχαρίας B 18 καὶ|καθικότος A, κεκαθηκῶς B ib. ὑπαὐτὸν A, ὑπαυτοῦ B 19 παραστησαμένω B 23 ἐπηγκειλάμην scripturae genus frequentissimum in DE ib. αὐτῷ F 28 ὁ παῖς post ὥραν iterat D

τόμενος τοίνυν ὁ βασιλεὺς ἐπὶ τῇ τοσαύτῃ τοῦ υἱοῦ σιωπῇ καὶ ἀφωνίᾳ ἔφη τοῖς μεγιστᾶσι αὐτοῦ· κἂν γοῦν ὑμεῖς τῷ υἱῷ μου προσφθέγξασθε· οὗτος γὰρ ἐμὲ δεδιώς, ὡς ἔοικε, σιωπᾷ. τῶν δὲ εὐθὺς τῷ νέῳ προσφθεγξαμένων ἐπάγωγά τινα καὶ προσηνῆ ῥήματα καὶ ἀποκρίνασθαι αὐτοῖς λεγόντων αὐτῷ ἐκεῖνος πάλιν ὡς τὸ πρότερον ἐσιώπα. ὅθεν καὶ στρατιώτας ὁ βασιλεὺς καὶ δραστικοὺς αὐτοῦ ὑπηρέτας εἰς τὴν τοῦ διδασκάλου αὐτοῦ ἀναζήτησιν ἐκπέμπει. οἱ δὲ τοῦτον ἐπιμελῶς ἀναζητήσαντες οὐχ εὗρον. πάλιν γοῦν ὁ βασιλεὺς λέγει τοῖς αὐτοῦ μεγιστᾶσι· τί ἄρα ὑμῖν εἶναι δοκεῖ τὸ τῆς σιγῆς ταύτης παραίτιον; εἷς δὲ τούτων ἀποκρίνεται τῷ βασιλεῖ λέγων· ἔοικεν, ὦ βασιλεῦ, ὡς τῷ υἱῷ σου πόματός τινος μετέδωκεν ὁ αὐτοῦ διδάσκαλος, ὥστε δι' αὐτοῦ κραταιότερον τὴν διδασκαλίαν ἐν αὐτῷ παγιωθῆναι, καὶ στοχαζόμεθα ὡς ὑπ' ἐκείνου τοῦ πόματος ἡ αὐτοῦ γλῶττα πεπέδηται, ἢ καὶ ἐκ σφοδρᾶς καὶ ἰταμωτάτης τοῦ μυσταγωγοῦ αὐτοῦ ἀπειλῆς τε καὶ ἐκφοβήσεως.

Ἐπὶ τούτοις οὖν τοῦ βασιλέως χαλεπῶς ἀνιωμένου μία τῶν αὐτοῦ γυναικῶν οὕτω δυσχερῶς ἔχοντα [τὸν παῖδα] θεασαμένη φησὶ πρὸς τὸν βασιλέα· ἐπίτρεψον, ὦ βασιλεῦ, καταμόνας ἐμὲ καὶ τὸν υἱόν σου γενέσ|θαι, εἴ πως ἐμοὶ τὴν ἐνδομυχοῦσαν A f. 256 αὐτῷ αἰτίαν ἀνακαλύψειεν, ἐπεὶ καὶ πρὸ τούτου εἰώθει ἀνακοινοῦν μοι τὰ

RETRACTATIO.

φησὶ πρὸς τοὺς μεγιστάνους αὐτοῦ· κἂν ὑμεῖς τὸν υἱόν μου λαλήσατε· αὐτὸς γὰρ ὡς ἔοικε, φοβούμενος ἐμὲ σιωπᾷ. τῶν δὲ ἀρχόντων λόγους λαλησάντων τῷ νέῳ γλυκεῖς καὶ τοῦτον πρὸς ἀπόκρισιν ἕλκοντες, ἐκεῖνος ὡς τὸ πρότερον σιωπῶν ἦν. ὅθεν ὁ βασιλεὺς περιαλγὴς γενόμενος στρατιώτας κελεύει εἰς τὴν τοῦ διδασκάλου ἀναζήτησιν. οἱ δὲ ἐπιμελῶς αὐτὸν ἀναζητήσαντες οὐχ εὗρον. πάλιν οὖν ὁ βασιλεὺς p. 11 λέγει τοῖς μεγιστᾶσιν αὐτοῦ· τί ἄρα ὑμῖν φαίνεται τὸ αἴτιον τῆς σιωπῆς ταύτης; εἷς δὲ τούτων ἀπεκρίθη τῷ βασιλεῖ λέγων· δοκεῖ μοι, ὦ βασιλεῦ, ὡς τῷ υἱῷ σου βοτανόν τι δέδωκεν ὁ διδάσκαλος, ὥστε διὰ τοῦ βοτάνου στερεώτερον διαβῆναι τὴν διδασκαλίαν ἐν αὐτῷ, καὶ στοχαζόμεθα ὅτι ἀπὸ τοῦ βοτάνου ἐκείνου ἐδεσμεύθη, ἢ καὶ ἀπὸ πολλῆς καὶ σκληρᾶς παιδεύσεως τοῦ διδασκάλου τοῦτο ἐγένετο.

Ἐπὶ τούτοις οὖν τοῦ βασιλέως ἀθυμοῦντος καὶ λυπουμένου μία τῶν αὐτοῦ γυναικῶν οὕτω λυπούμενον τὸν βασιλέα ἰδοῦσα φησὶ πρὸς αὐτόν· ὦ βασιλεῦ, ἐπίτρεψον ἐμὲ καὶ τὸν υἱόν σου κατὰ μόνας γενέσθαι, καὶ ἐμοὶ τὴν αἰτίαν τῆς σιωπῆς ἀναγγελεῖ, ὅτι καὶ πρὸ ταύτης τῆς αἰτίας συνήθειαν εἶχεν ἀνακαλύπτειν ἐμοὶ πάντα ὅσα εἶχεν

1 τῇ om. B 2 et 7 sq. μεγιστάσι A, μεγιστάσιν B 3 ἐπάγωγα τινὰ A, ἐπαγωγὰ τινὰ B 6 ἐκζήτησιν ἐκπέμπει B 10 sq. την διδασκαλίαν ἐν αὐτῶ παγιωθήναι A, cui favet Syr. («damit seine Unterweisung besser hafte» Bäthgen), ἐν αὐτῶ τὴν διδασκαλίαν περαιωθῆναι B 11 πόματος] π ex σ factum B 12 γλῶσσα B 14 in marg. m. rec. ἡ δὲ γυνῆ λα(βοῦσα) τ(ὸν) παιδ(α) ἐπανηλθ(ε) A 15 vv. τὸν παῖδα neque Syrus agnoscit («Als nun eine der Frauen des Königs sah, wie sehr ihn der Zustand des Knaben betrübe» Bäthgen) neque metaphrasta legisse videtur 16 sq. ἐνδομηχοῦσαν AB 17 αἰτίαν om. B ib. ἀνακαλύψοιεν B 20 ἑλκόντων Ebh. ib. πρότερον] πρώτως D 26 ἐν om. EF 29 ἐπίστρεψον D 30 ἀναγγελοῖ F 31 τῆς om. D

ἑαυτοῦ ἐγκάρδια, ἅπερ οὐδ' αὐτῇ ἐφανέρου τῇ μητρί. ἡ μέντοι μήτηρ τοῦ παιδὸς καὶ αὐτὴ σφοδρότερον [τοῦ πατρὸς] τὴν καρδίαν ἐπὶ τῷ υἱῷ ἐτιτρώσκετο. φησὶν οὖν ὁ βασιλεὺς τῇ αὐτοῦ μητρυιᾷ· λάβε λοιπὸν σὺ τὸν υἱόν μου πρὸς ἑαυτὴν καὶ ὡς δυνατὸν θωπευτικῶς αὐτῷ προσομίλησον, εἴ πως διὰ σοῦ, ὡς ἔφησας, πρὸς τὸ λαλῆσαι κινηθείη καὶ γνῷς κἂν αὐτὴ τί τὸ τῆς σιγῆς αὐτοῦ καθέστηκεν αἴτιον. ἡ δὲ τῆς χειρὸς τὸν παῖδα κρατήσασα πρὸς τὴν ἑαυτῆς οἰκίαν ἀπήγαγεν καὶ προσομιλεῖν αὐτῷ ὁμαλῶς ἀπήρξατο. ὁ δὲ παῖς αὖθις τῇ ὁμοίᾳ καὶ πρὸς αὐτὴν σιωπῇ ἐκέχρητο, μηδόλως τοῖς μειλιχίοις αὐτῆς λόγοις ἐκμαλαττόμενος. εἶτα λέγει πρὸς αὐτὸν ἡ γυνή· πέπεισμαι ὡς ὑπό τινα αἰτίαν οὐχ ὑπάρχεις, φίλτατε· ἵνα τί λοιπὸν ἐπὶ τοσοῦτον σιγᾷς; ὅμως, εἴπερ τι τῶν ἀδοκήτων ἐπισυμβῆναί σοι δέδοικας, πρᾶγμα λυσιτελὲς συμβουλεύσω σοι, καὶ οὐ πρότερόν σου ἀπόσχωμαι, ἄχρις ἂν τὸ λεγόμενον ἐπ' ὠφελείᾳ τῇ σῇ ἐκπληρώσῃς. ὃ δὲ φημί, τοῦτό ἐστιν· οἶδας ὅτι ὁ σὸς πατὴρ ἤδη τῷ γήρᾳ τετρύχωται καὶ ὅλως ἡ αὐτοῦ καταπέπτωκε
B f. 62 δύναμις, σὺ δὲ σφριγᾷς | τῇ ῥώμῃ καὶ ἀκμάζεις τῇ νεότητι· εἰ οὖν ἔστι σοι ἀρεστόν, ἐπιβουλήν τινα κατὰ τοῦ πατρός σου ἐκμελετήσω, κἀκεῖνον μὲν διαχειρίσομαι, σὺ δὲ ἀντ' ἐκείνου τῆς βασιλείας ἐπιβήσῃ κἀμὲ εἰς γυναῖκα σεαυτῷ λάβῃς. ταῦτα τῆς πονηρᾶς τῷ παιδὶ προσφθεγξαμένης σφόδρα ἐκεῖνος ἐπὶ τού-

RETRACTATIO.

αὐτός, ἅπερ οὐδὲ τῇ αὐτοῦ μητρὶ ἐδήλου. ἡ μέντοι μήτηρ τοῦ παιδὸς καὶ αὐτὴ σφοδρότερον ἐτιτρώσκετο τὴν καρδίαν. λέγει οὖν ὁ βασιλεὺς τῇ παμπονήρῳ τοῦ υἱοῦ μη-
p. 12 τρυιᾷ· λάβε οὖν σὺ τὸν υἱόν|μου πρὸς ἑαυτὴν καὶ ὡς δύνασαι κολακευτικῶς αὐτῷ προσομίλησον, ἵνα κἂν διὰ σοῦ, ὡς εἶπας, κινηθείη πρὸς τὸ λαλῆσαι, καὶ τότε νοήσεις αὐτὴ σὺ τί τὸ τῆς σιωπῆς ταύτης αἴτιον. ἡ δὲ γυνὴ τὸν παῖδα τῆς χειρὸς λαβοῦσα πρὸς τὴν ἑαυτῆς οἰκίαν ἀπήγαγε καὶ συνομιλεῖν αὐτῷ λόγους πραεῖς καὶ ἡμέρους ἀπήρξατο. ὁ δὲ παῖς ὡς καὶ πρότερον ὁμοίως ἐκράτει τὴν σιωπήν, μηδόλως τοῖς γλυκέσι λόγοις τῆς γυναικὸς ὑποχαυνούμενος καὶ ἀκούων. εἶτα λέγει πάλιν πρὸς αὐτὸν ἡ γυνή· ὦ φίλτατε, νῦν ἀληθῶς ἔγνων ὡς ὑπὸ αἰτίαν τινὰ ὑπάρχεις· ἵνα τί λοιπὸν ἐπὶ τοσοῦτον καιρὸν σιωπᾷς; ὅμως, εἰ φόβον ἔχεις εἰς ἑαυτὸν μή τι τῶν ἀδοκήτων ἐπέλθοι σοι, συμβουλεύω σοί τι πρᾶγμα ὠφέλιμον, καὶ οὐ χωρισθήσομαί σου πρότερον, ἕως οὗ τὸ ἔργον ὃ λέξω σοι ἐπ' ὠφελείᾳ τῇ σῇ ἐκπληρώσεις. ὃ δέ σοι λέγω, τοῦτό ἐστι· γινώσκεις καλῶς ὅτι ὁ σὸς πατὴρ ἤδη γέρων ἐστὶ καὶ ἀδύνατος, σὺ δὲ ἰσχύεις τῇ δυνάμει καὶ αὐξάνεις τῇ
p. 13 νεότητι. ἐὰν φαίνηταί σοι οὖν καλόν,|ἐπιβουλήν τινα κατὰ τοῦ πατρός σου μελετήσω, καὶ ἐκεῖνον μὲν εἰς φόνον ἐκδώσω, σὺ δὲ λαβὼν τὴν βασιλείαν λήψῃ κἀμὲ εἰς γυναῖκα. ταῦτα τῆς πονηρᾶς γυναικὸς τῷ παιδὶ λαλησάσης σφόδρα ὁ παῖς ἐπὶ τούτοις ὠργί-

---

1 ἑαυτοῦ om. B ib. ἐφανέρουν B 2 vv. τοῦ πατρὸς propter superlativum vel potius elativum σφοδρότερον («sehr» Bäthgen) non intellectum irrepserunt 3 μητρυΐα A 6 ἡ] ἡ A, εἰ B ib. ἐπίγαγεν A 8 μὴδόλως A, μηδ'ὅλως B ib. μιλϊχίοις αὐτοῖς AB 10 post λοιπὸν ins. καὶ B ib. εἰπέρ A ib. ἀδωχίτων A, ἀδοχίτων B 11 πράγμα A, πράγματί (h. e. πρᾶγμά τι) B ib. ἀπόσχωμαι] οὐπρόσχωμαι B 15 μελετήσω B 15 sq. διάχυρίσομαι A, διαχειρίσωμαι B 16 ἐπιβήσει B 23 συνομιλῶν D 24 μὴ δ' ὅλως F 25 πάλιν om. D 27 εἰς αὐτὸν D

τοις ἐχαλέπηνε καὶ τοσοῦτον τῷ θυμῷ καθ' ἑαυτὸν διεταράχθη, ὡς καὶ αὐτῆς τῆς τοῦ διδασκάλου ἐπιλαθέσθαι ἐντολῆς, ἣν αὐτῷ περὶ τοῦ μέχρι ἑτέρων ἑπτὰ ἡμερῶν σιγᾶν διεστείλατο. καὶ φησὶν τῇ γυναικί· γίνωσκε, ὦ γύναι, ὡς τό γε νῦν ἔχον μέχρι συμπληρώσεως ἡμερῶν ἑπτὰ οὐδέν σοι περὶ ὧν εἶπας ἀποκριθήσομαι. καὶ τοῦτο τοῦ παιδὸς εἰρηκότος ἐκείνη περιδεὴς καταστᾶσα καὶ πολλῷ συσχεθεῖσα τῷ φόβῳ βουλὴν πονηρὰν καὶ σκεωρίαν ἐπώλεθρον κατὰ τοῦ νέου ἐπινοεῖται, καὶ ἀθρόως διέρρηξεν ἑαυτῆς τὰ ἱμάτια καὶ τὴν ὄψιν τύψασα μεγαλοφώνως ἐκραύγασεν. ὁ δὲ βασιλεὺς τῆς βοῆς ἀκηκοὼς καὶ ἐπ' αὐτῇ διαταραχθεὶς εὐθὺς προσκαλεῖται τὴν γυναῖκα καὶ φησί· τίς ὁ τρόπος, ὦ γύναι, τῆς τοσαύτης σου κραυγῆς; | A f. 257 ἡ δὲ ἔφη τῷ βασιλεῖ· ἐγώ, βασιλεῦ, τῷ υἱῷ σου ἐμπόνως προσομιλοῦσα παρεσκεύαζον αὐτὸν τοῦ λαλῆσαί μοι, ἐκεῖνος δὲ αἰφνιδίως ἐπιπεσών μοι ἐνυβρίσαι μου τῷ σώματι ἐπειρᾶτο, ὡς καὶ τὴν στολήν μου διασπαράξαι τῇ πολλῇ βίᾳ, ὡς ὁρᾷς, καὶ τὴν ὄψιν μου τοῖς ἰδίοις κατατραυματίσαι ὄνυξι· κἀγὼ μὲν ᾔδειν ὡς ἑτέροις τισὶν ἐλαττώμασιν ὁ παῖς σου κατείχετο, τοιοῦτον δὲ αὐτὸν νενοσηκέναι ἀτόπημα οὐδόλως ὑπετόπαζον. ὁ δὲ βασιλεὺς τούτων τῶν ῥημάτων παρ' ἐλπίδα πᾶσαν καὶ προσδοκίαν ἀκούσας καὶ καταπλαγεὶς ἐπὶ τῷ παραδόξῳ τῆς ἀγγελίας χαλεπῶς τὴν ψυχὴν κατὰ τοῦ υἱοῦ διετέθη καὶ παντελῶς αὐτὸν ἀπείπατο καὶ τῆς υἱότητος ἀπεκήρυξεν. ἐπὶ πολὺ

RETRACTATIO.

ζετο καὶ τοσοῦτον καθ' ἑαυτὸν τῷ θυμῷ ἐταράχθη, ὡς καὶ τῆς τοῦ διδασκάλου αὐτῆς ἐντολῆς ἐπιλαθέσθαι καὶ πρὸ συμπληρώσεως τῶν ἑπτὰ ἡμερῶν λαλῆσαι. καὶ φησὶ πρὸς αὐτήν· γίνωσκε, ὦ γύναι, ὡς τὸ νῦν λαληθὲν παρὰ σοῦ οὐχ ἕξει ἀπόκρισιν παρ' ἐμοῦ ἕως συμπληρώσεως ἑπτὰ ἡμερῶν. οὕτω τοῦ παιδὸς εἰπόντος ἡ γυνὴ περίφοβος γενομένη καὶ ἔντρομος βουλὴν κακίστην καὶ ὀλεθρίαν κατὰ τοῦ νέου ἐσκέψατο, καὶ ἅμα διέρρηξε τὰ ἱμάτια αὐτῆς καὶ τὸ πρόσωπον τύπτουσα μεγάλως ἐβόησεν. ὁ δὲ βασιλεὺς ἀκούσας τῆς φωνῆς καὶ ταραχθεὶς τὴν γυναῖκα προσκαλεῖται καὶ λέγει· τίς ἡ αἰτία τῆς τοσαύτης σου ἀτάκτου βοῆς; καὶ ἡ γυνὴ ἀπεκρίθη· ἐγώ, | p. 14 βασιλεῦ, μετὰ ἀγάπης πολλῆς κοπιῶσα καὶ προσομιλοῦσα τὸν σὸν υἱὸν παρεκίνουν αὐτὸν τοῦ λαλῆσαί σοι· οὗτος δὲ αἰφνιδίως ἐπιπεσών μοι ἐνυβρίσαι μου τῷ σώματι ἐπειρᾶτο, ὥστε τῇ πολλῇ βίᾳ τὴν στολήν μου ἐσπάραξεν, ὡς ὁρᾷς, καὶ τὸ πρόσωπον τοῖς ἰδίοις κατετραυμάτισεν ὄνυξι. καὶ ἐγὼ μὲν ἐνόμιζον ὡς ἄλλοις τισὶν ἐλαττώμασι νεωτερικοῖς ὁ σὸς παῖς ἐκρατεῖτο, τοσαύτην δὲ ἀναίδειαν μυσαρὰν ἔχειν αὐτὸν οὐδόλως ἐστοχαζόμην. ὁ δὲ βασιλεὺς τούτων τῶν λόγων ἀνελπίστως καὶ παρὰ πᾶσαν προσδοκίαν ἀκούσας καὶ καταπλαγεὶς ἐπὶ τῷ παραδόξῳ τῆς διηγήσεως κακῶς κατὰ τοῦ υἱοῦ διετέθη καὶ καθόλου αὐτὸν τῆς υἱότητος ἀπεξένωσεν. ἐπιπολὺ δὲ τῇ καρδίᾳ νυττόμε-

---

4 συνπληρώσεως A   6 σκεώρίαν ἐπόλεθρον A   7 διέριξεν A   8 ἐκραύγασε B   9 τὴν] τῇ A   ib. ὁ τρόπος om. B   10 τῷ υἱῷ σου om. B   11 μοι] ita etiam Syrus («mit mir» Bäthgen)   ib. αἰφνηδίως A, ἐφνιδίως B   12 ἐνίβρυσαί A   12 sq. διάσπαράξε A, ἐσπάραξε B   14 τισὶ B   15 οὐδ'ὅλως B nonnunquam   ib. ἀπετόπαζον A   ib. βασι|βασιλεὺς A   18 καὶ (tum rasura 4—5 litterarum) |παντελῶς αὐτοῦ B   ib. ἀπεκήρυξε B   ib. πολλὺ A, πολλῇ B   19 sq. αὐτῆς om. D   21 τὸν υἱὸν λαληθὲν D   27 σὸν add. F   28 αἰφνηδίως F   ib. ἐνΰβρισαί F   30 ὄνυξιν (DE) Boiss.   34 sq. νυττόμενος πολυτρώπως reliquis omissis D

δὲ τὴν καρδίαν νυττόμενος καὶ πικρῶς τῇ ἀθυμίᾳ βαλλόμενος ποικίλους τε καὶ ἀλλοκότους λογισμοὺς ἀνακινῶν ἐν ἑαυτῷ κατὰ τοῦ υἱοῦ, τέλος τῇ ἀνίᾳ καταποθεὶς θάνατον καταψηφίζεται τοῦ παιδός.

Ὑπῆρχον οὖν τότε τῷ βασιλεῖ σύμβουλοι φιλοσοφώτατοι ἑπτά, οὓς καὶ εἰώθει ἐπὶ πᾶσι τοῖς παρ' αὐτοῦ πραττομένοις συνίστορας παραλαμβάνειν. οὗτοι τοίνυν ἐνωτισθέντες τὴν ἐξενεχθεῖσαν παρ' αὐτοῦ κατὰ τοῦ υἱοῦ ἀπόφασιν καὶ ὅτι δίχα τῆς αὐτῶν συμβουλῆς θάνατον ἐκείνου κατεψηφίσατο, συλλογισάμενοι καθ' ἑαυτοὺς ἔγνωσαν ὡς τῷ σφοδρῷ καὶ ὑπερβάλλοντι τῆς ὀργῆς καὶ τῆς λύπης ὁ βα-
B f.63 σιλεὺς ἡττηθείς, ἐφ' ᾧ τὴν τῆς γυναικὸς κατηγορίαν ἀληθῆ ἐλογίσατο, τε|θνάναι τὸν υἱὸν ἀνεξερευνήτως κατεδίκασε καὶ ὡς οὐ δίκαιόν ἐστιν οὕτως ἀνεξετάστως τὸν βασιλέα διαχειρίσασθαι τὸν υἱὸν αὐτοῦ, καὶ ὅτι ἐσύστερον πικρῶς μεταμεληθεὶς ἡμᾶς, ἔλεγον, αἰτιάσεται καὶ ὡς ἐχθροὺς μᾶλλον ἀποστραφήσεται, ὅτι μὴ τοῦ ἐγχειρήματος αὐτὸν διεκωλύσαμεν. φέρε δὴ λοιπὸν μέθοδόν τινα πρὸς τὸν βασιλέα ὡς δέον ἐπινοησώμεθα, πῶς ἄρα τὸν αὐτοῦ υἱὸν τῆς τοῦ θανάτου τομῆς ἐξαρπάσωμεν. εἶτα ἐβουλεύσαντο ἕκαστον αὐτῶν ἐφ' ἑκάστῃ ἡμέρᾳ περὶ τοῦ υἱοῦ προσομιλῆσαι τῷ βασιλεῖ. καὶ δὴ θάτερος τῶν ἑπτὰ φιλοσόφων ὁ καὶ πρῶτος φησὶν ὡς· τὴν σήμερον ἡμέραν ἔγωγε τῷ βασιλεῖ παραστὰς

RETRACTATIO.

νος καὶ πικρῶς τῇ λύπῃ βαλλόμενος πολυτρόπους καὶ ξένους λογισμοὺς καθ' ἑαυτὸν ἀνεπόλει κατὰ τοῦ υἱοῦ. τέλος τῇ πολλῇ λύπῃ καταποθεὶς θάνατον κατὰ τοῦ παιδὸς ἀπεφήνατο.

p. 15 |Ὑπῆρχον οὖν τότε τῷ βασιλεῖ σύμβουλοι φιλόσοφοι ἑπτά, οὓς καὶ συνήθειαν εἶχεν ἐπὶ πᾶσι τοῖς ὑπ' αὐτοῦ γενομένοις συμβούλους καὶ συμπράκτορας ἔχειν. τοιγαροῦν καὶ οὗτοι ἀκούσαντες τὴν ἐξενεχθεῖσαν ἀπόφασιν βασιλικὴν κατὰ τοῦ υἱοῦ αὐτοῦ χωρὶς τῆς αὐτῶν συμβουλῆς, συνελογίσαντο καθ' ἑαυτούς, καταλαβόντες ὡς τὸ πολὺ τῆς ὀργῆς καὶ ὑπερβάλλον τῆς πράξεως ἡττηθεὶς ὁ βασιλεύς, τὴν τῆς γυναικὸς κατηγορίαν πιστεύσας εἶναι ἀληθῆ, τὸν υἱὸν ἀνεξετάστως ἀποθανεῖν ἐκέλευσε· διὸ οὐ δεῖ γε ἡμᾶς σιωπῆσαι τὸ τοιοῦτον δρᾶμα οὐδὲ τὸν βασιλέα ἐᾶσαι σφάξαι τὸν υἱὸν αὐτοῦ ἀνεξετάστως καὶ ἁπλῶς. διὰ τοῦτο, ἐὰν μὴ σπουδάσωμεν ἐμποδίσαι αὐτόν, ὕστερον μεταμεληθεὶς ἡμᾶς αἰτιάσεται καὶ εἰκότως καὶ ὡς ἐχθροῦ ἀποστραφήσεται, ὅτι οὐκ ἐκωλύσαμεν αὐτὸν ἀπὸ τοῦ τοιούτου φόνου. ἄγε δή τινα πρᾶξιν ἁρμόζουσαν πρὸς τὸν βασιλέα ἐπινοήσωμεν, ἵνα τὸν υἱὸν αὐτοῦ τῆς τοῦ ἀδίκου θανάτου καταδί-
p. 16 κης ἐλευθερώ|σωμεν. εἶτα ἐβουλεύσαντο εἷς ἕκαστος αὐτῶν ἐφ' ἑκάστης ἡμέρας μέχρι καὶ τῶν ἑπτὰ περὶ τοῦ υἱοῦ προσομιλεῖν τῷ βασιλεῖ. καὶ δῆτα εἷς τῶν ἑπτὰ ὁ καὶ πρῶτος τῶν ἄλλων φησίν· ἐγὼ σήμερον τῷ βασιλεῖ παραστὰς τοῦ θανάτου ἐλευθε-

---

2 πρὸς ἑαυτῷ B pr., corr. πρὸς ἑαυτὸν 2 sq. ἀνοία κατὰποθεῖς A, ἀνία συγκαταποθεῖς B 5 πᾶσιν B ib. παραλαβάνειν A 7 τῆς αὐτῶ A 8 τῷ] τὸ B 10 ἐστὶ B

12 ἐχθρὸς A 14 ἐπινοησόμεθα B 14 sq. θανάτομῆς ἐξαρπάσομεν B 16 θάτερον B 17 ἐγῶγε A 19 ἀνεπήλει E ib. καταπωθεὶς F 22 γινομένοις Ebh. 24 ὡς διὰ τό? Ebh. 29 ἐχθρὸν EF, ἐχθροὺς Boissonade

τὸν υἱὸν αὐτοῦ κατὰ τὴν ἡμέραν ταύτην τῆς σφαγῆς ἀπαλλάξω. εὐθὺς γοῦν ἐκεῖνος παραγίνεται πρὸς τὸν βασιλέα καὶ ἐπὶ τῆς γῆς προσκυνήσας ἔφη·

|Βασιλεῦ, ἔφη, οὐ δίκαιόν ἐστιν τοὺς βασιλεῖς πρὸ τῆς ἀληθείας τι πράττειν. A f. 258
εἶτα καί τινος ἀπαρξάμενος διηγήματος ἔφη· ἦν γάρ τις βασιλεύς, ὃς τοσοῦτον ὑπῆρχεν θηλυμανὴς καὶ φιλογύναιος, ὡς μηδὲν ἕτερόν τι τῶν γυναικῶν ἡγεῖσθαι ποθεινότερον. οὗτος οὖν προκύψας τῶν βασιλικῶν ἀκουβίτων ὁρᾷ γυναῖκά τινα σφόδρα περικαλλῆ τε καὶ ὡραίαν, καὶ ταύτης ἥλω τῷ κάλλει καὶ σφοδρὸς αὐτῷ πρὸς αὐτὴν ἐντέτηκεν ὁ ἔρως. ὅθεν καὶ τὴν ἰδίαν ἔφεσιν ἐκπληρῶσαι μηχανώμενος τὸν αὐτῆς ἄνδρα μεταστέλλεται καὶ ἐπί τινα βασιλικὴν ὑπηρεσίαν ἐκπέμπει, αὐτὸς δὲ νυκτὸς πρὸς τὴν γυναῖκα παραγενόμενος εἰς συνουσίαν ταύτην ἠρέθιζεν. ἐκείνη δὲ συνέσεως καὶ ἀγχινοίας πλήρης τυγχάνουσα καὶ τῇ σωφροσύνῃ μᾶλλον σεμνυνομένη, δούλη μὲν ἐγὼ τοῦ κράτους σου, ἔφη, ὦ δέσποτα βασιλεῦ, καὶ πρὸς τὴν τῶν σῶν προσταγμάτων ἐκπλήρωσιν ἑτοιμοτάτη, ἀλλ' ἐν πρώτοις δέομαι μίαν κἀμοῦ γενέσθαι παρὰ τῆς βασιλείας σου αἴτησιν. καὶ τοῦτο εἰποῦσα δείκνυσιν αὐτῷ βίβλον τινὰ τοῦ ἰδίου ἀνδρός, ἐν ᾗ περὶ σωφροσύνης διείληπτο καὶ τῆς τῶν αἰσχρῶν καὶ ἀλόγων ὀρέξεων ἀποτροπῆς, καὶ

RETRACTATIO.

ρώσω τὸν υἱὸν αὐτοῦ. εὐθὺς οὖν ὁ ἀνὴρ ἀπέρχεται πρὸς τὸν βασιλέα καὶ μέχρις ἐδάφους προσκυνήσας εἶπεν·

Ὦ βασιλεῦ, οὐ δίκαιόν ἐστι τοὺς βασιλέας πρὸ ἐξετάσεως τῆς ἀληθείας ποιεῖν τι. ἤρξατο δὲ καὶ τοιοῦτόν τι διήγημα πρὸς τὸν βασιλέα λέγων· ἦν τις βασιλεύς, ὃς ἐπὶ τοσοῦτον ἠγάπα τὰς γυναῖκας, ὡς οὐδεὶς ἕτερος τῶν πάντων ἀνθρώπων· δαιμονιώδης γὰρ ἦν εἰς αὐτάς, ὥστε μὴ νομίζειν ἄλλο τι τῶν ἐν κόσμῳ ἠγαπημενώτερον ἢ γλυκύτερον. οὗτος τοίνυν ὁ βασιλεὺς ἔτυχε μιᾷ τῶν ἡμερῶν παρακύψαι ἐκ τῶν τοῦ παλατίου καγκέλων, ἀφ' ὧν ὁρᾷ γυναῖκα μίαν σφόδρα ὡραίαν καὶ περικαλλῆ, καὶ ταύτης ἥλω τῷ κάλλει καὶ πολὺς ἔρως | κατεδαπάνα καὶ ἔθλιβε p. 17
τὴν καρδίαν αὐτοῦ. ὅθεν καὶ τὴν ἐπιθυμίαν αὐτοῦ ἐκπληρῶσαι βουλόμενος, τὸν αὐτῆς ἄνδρα καλέσας ἐπί τινα βασιλικὴν ὑπηρεσίαν ἐκπέμπει, αὐτὸς δὲ νυκτὸς πρὸς τὴν γυναῖκα παραγενόμενος πρὸς συνουσίαν ταύτην ἠρέθιζεν. καὶ γυνὴ φρονήσεως καὶ νοῦ ὀξυτάτου πλήρης τυγχάνουσα καὶ τῇ σωφροσύνῃ μᾶλλον σεμνυνομένη, δούλη μὲν ἐγὼ τοῦ κράτους σου, ἔφη, ὦ βασιλεῦ, καὶ πρὸς τὸ σὸν πρόσταγμα ἐκπληρῶσαι ἑτοιμοτάτη, ἀλλ' ἐν πρώτοις δέομαι μίαν κἀμοῦ τῆς δούλης σου γενέσθαι παρὰ τοῦ κράτους σου αἴτησιν. καὶ τοῦτο εἰποῦσα δείκνυσι τῷ βασιλεῖ βίβλον τινὰ τοῦ ἀνδρὸς αὐτῆς, ἐν ᾗ περὶ σωφροσύνης ἐγέγραπτο καὶ τῆς τῶν αἰσχρῶν καὶ ἀλόγων ὀρέξεων

1 τῆσφαγῆς A 3 m. rec. in marg.: πρῶτος φιλόσοφος τοιαῦτ(α) λέ(γει) A ib. ἔφη om. B ib. πρὸ ἐξετάσεως τῆς ἀληθείας? 5 ὑπῆρχε B ib. m. rec. in marg.: πε(ρὶ) ὁ φίλογ ὃν ἰδὼν ὁ βασί'λ(εὺς) ἀπὸ (?)........ A ib. μὴ δὴ B 6 ἀκουβήτων A 7 περικαλῆ A, περικαλή B ib. ὡραιοτάτην B ib. ταύτην pr. A 8 ἐτέτηκεν B ib. ὁ] 1—2 litt. erasae A 11 ἐρέθιζεν B ib. τυγχάνωντα A 12 κράτουσου A 19 lemmata: πρώτου (D σοῦ, «i. e. ᾱου» Ebh.) φιλοσόφου δημηγορία πρὸς τὸν βασιλέα DF, πρώτη δημηγορία τοῦ πρώτου φιλοσόφου E 20 τι nescio utrum om. F 24 καγκέλλων Ebh., qua correctione non magis opus est quam supra (6) in ἀκουβίτων addito κ 25 περικαλῆ F 28 ἡ δὲ γυνὴ F, quod Ebh. recepit certe articulum addi debuisse ratus. nunc veri similius καὶ γυνὴ ex κἀκείνη ortum esse

ταύτην προτειναμένη, ἀνάγνωθι, βασιλεῦ, ἔφη, ἐν ταύτῃ τῇ βίβλῳ μικρὸν καὶ ἐξ αὐτῆς κατανόησον πῶς χρὴ τοὺς κατὰ σὲ βασιλεύειν καὶ κρατεῖν ὡς δέον τῶν ἡδονῶν. ὁ δὲ βασιλεὺς ἀφέμενος τὰ ἐν τῇ βίβλῳ ἐκείνῃ κατανοῆσαι προσπαίζειν ἀσχημόνως ἐπεχείρει τῇ γυναικὶ καὶ ἀτάκτως αὐτῆς περιάπτεσθαι, οὐδὲν δὲ τῆς οἰκείας ἀναιδείας ἀπώνατο, ἀλλ' ἐσύστερον ἐκεῖθεν ὑπανεχώρησε μηδὲν ὅλως ἐπ' αὐτῇ διαπραξάμενος ἄτοπον. τὸ δέ γε τούτου βασιλικὸν δακτύλιον τῆς χειρὸς ἐξολισθῆσαν, ὅτε ἀτάκτως τῆς γυναικὸς περιήπτετο, ὑπὸ τὴν ἐκεῖσε κλίνην ἀποπέπτωκεν, μὴ εἰδυίας τῆς γυναικός. ὅτε δὲ ὁ αὐτῆς ἐπανέκαμψεν ἀνὴρ καὶ εἰς τὸν αὐτοῦ εἰσελήλυθεν οἶκον, καθεσθεὶς συνήθως ἐπὶ τῆς κλίνης
B f. 64 |ὁρᾷ τὸ βασιλικὸν δακτύλιον ὑπὸ τὴν κλίνην κείμενον, καὶ τούτῳ τοὺς ὀφθαλμοὺς περιεργότερον ἐπιβαλὼν βασιλέως ὄντως τυγχάνειν παραχρῆμα ἐπέγνω. καὶ τοῖς λογισμοῖς ταραττόμενος ἔφη ὡς· ὁ βασιλεὺς ἐλθὼν τῆς γυναικός μου κατεξανέστη καὶ αὐτῇ πάντως συνεφθάρη. ἔκτοτε γοῦν δέος αὐτὸν τοῦ βασιλέως
A f. 259 εἰσέδυ καὶ τῇ γυναικὶ συγκοιτάζεσθαι | οὐκέτι τὸ παράπαν ἐτόλμα, ἀλλ' οὔτε τι πρὸς αὐτὴν περὶ τούτου λελαληκέναι. ἐπὶ πολὺ δὲ αὐτοῦ ταύτης ἀφισταμένου πέμπει πρὸς τὸν ἑαυτῆς πατέρα ἡ γυνὴ καὶ αὐτοὺς δὲ τοὺς ὁμοίμονας καὶ δεδήλωκεν αὐτοῖς ὡς· ὁ σύνευνός μου παντελῶς ἀπεστράφη με. ὁ δὲ πατὴρ

RETRACTATIO.

ἀποφυγῆς· καὶ ταύτην ἀνοίξασα, ἀνάγνωθι, δέομαι, βασιλεῦ, ἔφη, καὶ ἐξ αὐτῆς κατανόησον πῶς δεῖ τοὺς κατὰ σὲ βασιλέας κρατεῖν τῶν ἡδονῶν· οὕτω γὰρ δικαίως ἂν
p. 18 βασιλεῖς εἶναι καὶ ὀνομάζεσθαι | ἔχοιεν. ὁ δὲ βασιλεὺς ἀφεὶς τὰ ἐν τῇ βίβλῳ, παίζειν ἀσχημόνως ἐπεχείρει τῇ γυναικὶ καὶ ταύτης ἅπτεσθαι ἀτάκτως. οὐδὲν τῆς τοιαύτης ἀναισχυντίας ἀπέλαυεν, ἀλλὰ πολλὰ καμὼν ἐκεῖσε καὶ κεκοπιακὼς ἀνεχώρησε, μηδὲν τῇ γυναικὶ διαπραξάμενος ἄτοπον. τὸ δὲ τούτου βασιλικὸν δακτύλιον τῆς χειρὸς ὀλισθῆσαν, ὅτε τῇ γυναικὶ ἐρωτικῶς περιίπτατο, μὴ εἰδυίας ὅλως αὐτῆς ὑπὸ τὴν κλίνην ἐκείνης λαθὸν ἀποπέπτωκεν. ὅτε δὲ ὁ αὐτῆς ἀνὴρ ἦλθε, καὶ καθεσθεὶς ὡς ἔθος ἐπὶ τῆς κλίνης ὁρᾷ τὸν βασιλικὸν δακτύλιον ἐπὶ τῇ κλίνῃ κείμενον, καὶ περιεργότερον τούτῳ τοὺς ὀφθαλμοὺς βαλὼν ἔγνω γε ἅμα τοῦτον ὄντα βασιλικόν. τοῖς λογισμοῖς οὖν ταραττόμενος ὁ ἀνὴρ καθ' ἑαυτὸν ἔλεγεν ὡς· ὁ βασιλεὺς τῆς γυναικός μου κατεξανέστη καὶ αὐτῇ συνεφθάρη. καὶ ἀπὸ τότε φόβος εἰς αὐτὸν τοῦ βασιλέως εἰσῆλθε, καὶ οὐκ ἔτι συγκοιμηθῆναι τῇ γυναικὶ ἐπεχείρησεν, ἀλλ' οὐδέ τινα λόγον περὶ τούτου
p. 19 τῇ γυναικὶ λελάληκεν. | ἐπὶ πολὺ δὲ ὁ ἀνὴρ τῆς γυναικὸς μὴ ἀψάμενος ἔγνω δεῖν σιγῇ φέρειν τὸ πρᾶγμα. τῆς δὲ γυναικὸς πρὸς τὸν ἴδιον πατέρα καὶ τοὺς ἀδελφοὺς ἐξειπούσης τὴν τοῦ ἀνδρὸς ἀποστροφήν, ὁ πατὴρ καὶ οἱ αὐτάδελφοι παρευθὺς πρὸς τὸν βασιλέα πα-

---

2 ως δέων A, om. B 4 αὐτῆ B 5 αναιεδείας A ib. εσΰστερον A, ἐσΰστερον B, uterque ita saepius 6 ἐν αὐτῆ B 8 ἀποπέπτωκε B ib. εἰδυίας] ηδυείας A, ἰδίας B 8 sq. ἐπανέκαψεν B 10 ὑπό] ἐπὶ B ib. τοῦτω A, τοῦτο B 14 οὐχ ἔτι παράπαν B 15 λελακέναι B ib. ἀφεσταμένου B 16 δὲ] δὶ A, δὴ B 21 οὐδὲν δὲ τῆς Ebh. 22 ἀπέλαβεν F «ea litterae β forma quae proxime abest a l. u Latinorum» (Ebh.) ib. post μηδὲν sive a metaphrasta omissum est sive intercidit ἐν 25 καὶ quamvis incommodum sit delendum non esse apparet, neque magis 26 βασιλικόν 29 αὐτῇ] αὐτὴ EF 32 πρὸς] περὶ D 33 ἀναστροφὴν EF

αὐτῆς καὶ οἱ αὐτάδελφοι ἅμα τῇ ἀγγελίᾳ ταύτῃ πορεύονται πρὸς τὸν βασιλέα ἐκεῖνον καὶ καταβοῶσι τοῦ ἀνδρὸς λέγοντες οὕτως· ἀγρὸν ἡμῶν, ὦ βασιλεῦ, τῷδε τῷ ἀνδρὶ ἐκδεδώκαμεν, ὃν καὶ ἐπὶ πολὺν ἐργαζόμενος καιρὸν νυνὶ τοῦτον καταλέλοιπε καὶ τούτου καταμελήσας ἀποχερσωθῆναι πάλιν ὡς τὸ πρότερον πεποίηκε. διὸ καὶ δεόμεθα τοῦ κράτους σου, εἴτε τὸν ἀγρὸν ἐργαζέσθω εἴτε ἡμῖν τοῦτον ἀποκαταστησάτω. ὁ δὲ βασιλεὺς ἐκεῖνος ταύτης ἀκροασάμενος τῆς ἐγκλήσεως, τί οὗτοι λέγουσι; πρὸς τὸν ἄνδρα τῆς γυναικὸς ἔφησεν. ὁ δὲ ἀποκριθείς, ἀληθῶς, εἶπεν, ὦ βασιλεῦ, ταῦτα καὶ εὐλόγως φάσκουσιν· ἀγρὸν γὰρ ἡμῖν ἐκδεδώκασιν, ὅνπερ καὶ καλλιεργεῖν ὅση δύναμις οὐδόλως παρημέλουν· ἀλλ' ἐν μιᾷ τῶν ἡμερῶν ἐν αὐτῷ με ἐργαζόμενον ἴχνεσιν λέοντος ἐντυχεῖν συμβέβηκεν, ἃ καὶ θεασάμενος οὐκέτι τὸ ἀπ' ἐκείνου προσπελάσαι τῷ ἀγρῷ τετόλμηκα. ὁ δὲ βασιλεὺς ἐκεῖνος ἀκούσας τῶν τοιούτων ῥημάτων ἔφη τῷ ἀνδρὶ τῆς γυναικός· ἀληθῶς ταῦτα λέγεις, ὦ ἄνθρωπε· ὁ γὰρ λέων ἐν τῷ ἀγρῷ πάντως εἰσελήλυθεν· ἀλλ' οὐ κατά τι τοῦτον ἐλυμήνατο, οὐδ' οὐκέτι ἐκεῖσε εἰσελθεῖν ἐπιχειρήσει. τὸ λοιπὸν οὖν ὡς τὸ πρότερον κάτεχε τὸν ἐκδοθέντα σοι ἀγρὸν καὶ ἀφόβως ἐργάζου.

Ταύτην οὖν ὁ θάτερος τῶν φιλοσόφων τὴν διήγησιν τῷ βασιλεῖ ἀνενεγκὼν λέγει· ταύτην τὴν διήγησιν, ὦ βασιλεῦ, τῷ σῷ κράτει παρεισήγαγον, ἵνα

RETRACTATIO.

ραγενόμενοι τοῦ γαμβροῦ αὐτῶν κατεβόων οὑτωσὶ λέγοντες· ὦ βασιλεῦ, ἀγρὸν ἡμέτερον τῷ ἀνδρὶ τούτῳ ἐκδεδώκαμεν, ὃν καὶ ἐπὶ πολὺν ἐργασάμενος καιρὸν νυνὶ τοῦτον κατέλειπεν, ὥστε ὑπὸ τῆς αὐτοῦ ἀμελείας ἀποχερσωθῆναι πάλιν τὸν ἀγρὸν πεποίηκεν ὡς τὸ πρότερον. διὸ καὶ τοῦ σοῦ κράτους δεόμεθα ἵνα ἢ τὸν ἀγρὸν ἐργάζηται ὡς τὸ πρότερον, ἢ ἀποκαταστῆσαι τοῦτον εἰς ἡμᾶς. ὁ δὲ βασιλεὺς τὴν ἔγκλησιν ταύτην ἀκηκοώς, τί οὗτοι λέγουσι; πρὸς τὸν ἄνδρα ἔφησε τῆς γυναικός. ὁ δὲ ἀνὴρ τῷ βασιλεῖ ἀπεκρίνατο· ὅσα τῷ κράτει σου παρ' αὐτῶν ἀνηνέχθη, ἀληθῆ εἰσι· τὸν γὰρ ἀγρόν, ὅν μοι δεδώκασιν, ὅση μοι δύναμις καλλιέργουν καὶ | οὐδόλως παρημέλουν· ἀλλ' ἐν μιᾷ p. 20
τῶν ἡμερῶν ἐν αὐτῷ ἐργαζόμενος ἴχνη λέοντος ἐντυχεῖν με συμβέβηκεν, ἃ καὶ θεασάμενος οὐκ ἔτι τὸ ἀπ' ἐκείνου πλησιάσαι τετόλμηκα τῷ ἀγρῷ. ὁ δὲ βασιλεὺς ἐκεῖνος τῶν τοιούτων ῥημάτων ἀκούσας τῷ ἀνδρὶ τῆς γυναικὸς ἔφη· ἀληθῶς λέγεις, ὦ ἄνθρωπε· ὁ γὰρ λέων ἐν τῷ ἀγρῷ πάντως εἰσελήλυθεν· ἀλλ' οὐ κατά τι τὸν ἀγρὸν ἐλυμήνατο· ἀλλ' οὐδὲ πάλιν ἐκεῖσε εἰσελθεῖν ἐπιχειρήσει. λοιπὸν ὡς τὸ πρότερον τὸν ἐκδοθέντα σοι ἀγρὸν κράτει καὶ ἀφόβως ἐργάζου.

Ταύτην τὴν διήγησιν ὁ πρῶτος φιλόσοφος ἀνενεγκὼν τῷ βασιλεῖ λέγει· ταῦτα διηγησάμην, ὦ βασιλεῦ, ἵνα γνῷς ἐξ αὐτῆς τῆς διηγήσεως πῶς οὐ πάντα δεῖ τὰ

---

1 οἱ addidi ib. αὐταδέλφοι A 2 in marg. m. rec. πε(ρὶ) τοῦ ἀγροῦ A 3 ἐργασάμενος B 5 κρατουσου· εἰτὲ A ib. ἐργάζεσθαι B 6 τοῦτο AB ib. ἀπὸκαταστοίσα A 7 ἔφησε B 9 γὰρ ἡμῖν A, γάρ μοι B ib. ὅση A, ὡς ἡ B 10 sq. συνβέβηκεν A 11 οὐκ ἔτι B, qui ita solet 14 τοῦτον] τοῦ A 17 sq. τῷ βασιλεῖ — τὴν διήγησιν inserui 20 sq. κατέλιπεν Boiss. 23 ἀποκαταστήσῃ? Ebh. 26 οὐδόλως aliquotiens etiam F 27 ἐντυγχεῖν D 31 ἐλθεῖν F

γνῷς ἐξ αὐτῆς ὡς οὐ πάντα δὴ τὰ ἑκάστῳ κατηγορούμενα καὶ ὑποπτευόμενα τῆς ἀληθείας ἔχονται οὔτε χρή τινα διαβολαῖς εὐχερῶς πείθεσθαι καὶ ἀνεξετάστως καταδικάζειν. καὶ ἄλλην δὲ διήγησιν ἀκουσθεῖσάν μοι παρίστημι.

Ἀνὴρ γάρ τις ἦν φυλῆς ὑπάρχων τῆς Ἀγαρηνῶν. οὗτος περιέργως B f. 65 τὰ ἐν τῇ αὐτοῦ οἰκίᾳ καὶ ποικίλως ἀκριβολογῶν | ὀρνεόν τι θαυμαστότατον ὠνήσατο ἐνάρθρως φθεγγόμενον, ὅπερ ψιττακὸν οἶδεν ἡ συνήθεια καλεῖν. καὶ τοῦτο βαλὼν ἐν κλωβίῳ ἐν τῷ αὐτοῦ οἰκήματι ἔθετο καὶ παρήγγειλε τῷ ὀρνέῳ προσεκτικῶς αὐτοῦ τῇ γυναικὶ ἐνορᾶν· καὶ εἴ τι δἄν, φησί, μέχρι τῆς ἐμῆς ὑποστροφῆς ἡ σύζυγος διαπράξηται, παρατήρει τοῦ ἀπαγγεῖλαί μοι. οὕτως οὖν τῷ A f. 260 ψιττακῷ παραγγείλας ὁ ἀνὴρ ἐπί τινα ὁδοιπορίαν τῆς οἰκίας | ὑπανεχώρησεν. ἔκτοτε δὲ ξένος τις ἐκεῖσε παραγενόμενος τὴν τοῦ ἀνδρὸς γυναῖκα μοιχεύων διετέλει, συνειδυίας αὐτῇ καὶ τῆς ἐν τῇ οἰκίᾳ δούλης. ὅτε δὲ τῆς ὁδοιπορίας ὁ ἀνὴρ ἐπανῆκε, προσκαλεῖται τὸν ψιττακὸν καὶ ἐπερωτᾷ αὐτόν, τί ἄρα τὴν γυναῖκα θεάσαιτο πράξασαν. ὁ δὲ πάντα τὰ τῇ γυναικὶ ἀκολάστως πραχθέντα τῷ κυρίῳ αὐτοῦ ἐξεφώνησεν. ὁ δὲ ἀνὴρ δεινοπαθήσας ἐπὶ τοῖς ἀγγελθεῖσιν αὐτῷ περὶ τῆς ἰδίας συζύγου οὐκέτι αὐτῇ εἰς κοίτην συνήρχετο. ἡ μέντοι γυνὴ ὑπέλαβεν ὡς ἡ αὐτῆς δούλη τῷ ἰδίῳ ἀνδρὶ τὰ γεγονότα ἀπήγγειλεν, καὶ ταύτην προσκαλεσα-

RETRACTATIO.

κατηγορούμενα κατά τινος ἢ ὑποπτευόμενα πιστεύειν ὡς ἀληθῆ, ἀλλ᾿ οὐδὲ τὰς διαβολὰς εὐκόλως ἀκούειν καὶ ἀνεξετάστως δικάζειν καὶ ἀποφήνασθαι. καὶ ἄλλην πρὸς p. 21 τούτοις, ὦ βασιλεῦ, διήγησιν ἀκουσθεῖσάν | μοι διηγήσομαι τῷ σῷ κράτει.

Ἀνήρ τις φυλῆς ὢν τῶν Ἀγαρηνῶν, οὗτος περιέργως τὰ ἐν τῇ οἰκίᾳ τούτου καὶ ποικίλως ἀκριβολογῶν ὄρνεόν τι ὠνήσατο ἐνάρθρως φθεγγόμενον, ὅπερ ἡ κοινὴ συνήθεια ψιττακὸν οἶδε καλεῖν. καὶ τὸ ὄρνεον ἐν κλωβῷ βαλών, ἐν τῷ οἰκήματι φέρων ἐφύλαττε, καὶ παρήγγειλε τῷ ὀρνέῳ προσεκτικῶς αὐτοῦ τὴν γυναῖκα ὁρᾶν· καὶ εἴ τι δ᾿ ἂν ἀπόντος μου τῆς οἰκίας ἡ γυνὴ διαπράξηται, παρατήρει τοῦ ἀπαγγεῖλαί μοι. οὕτως οὖν ὁ ἀνὴρ τῷ ψιττακῷ παραγγείλας ἐπί τινα ὁδοιπορίαν ἀπῆλθε. τότε τοίνυν τις ἄνθρωπος εἰσερχόμενος εἰς τὴν οἰκίαν μοιχεύων ἦν τὴν γυναῖκα, συνειδυίας τοῦτο καὶ τῆς δούλης. ὅτε δὲ ὁ ἀνὴρ ἧκεν ἐκ τοῦ ταξειδίου, ἠρώτα τὸν ψιττακόν, τί ἄρα τὴν γυναῖκα ποιοῦσαν ἐθεάσατο. ὁ δὲ ψιττακὸς πάντα τὰ τῇ γυναικὶ ἀκολάστως πραχθέντα τῷ κυρίῳ ἐξεφώνησε. καὶ ὁ ἀνὴρ δεινῶς τὴν καρδίαν δηχθεὶς οὐκ ἔτι αὐτῇ συνεμίγνυτο. καὶ ἡ γυνὴ τὴν ἑαυτῆς δούλην ἔλεγε τῷ ἀνδρὶ ἀναγγεῖλαι τὰ κατ᾿ αὐτήν, καὶ p. 22 προσκαλεσαμένη αὐτὴν | ὀργίλως καὶ πικρῶς ἔλεγεν· εἰ ἀληθῶς σὺ τῷ ἀνδρί μου τὰ

---

1 ἑκάστω B, ἑκάστου A. illi lectioni favet Syrus («dass nicht alles, was im Herzen des Menschen aufkeimt, wahr ist» Baethgen) 4 in marg. m. rec.: πε(ρὶ) τοῦ ψηττακοῦ A 6 ψιτακὸν AB, quorum hic sibi constat, cum A plerumque τ geminato utatur ib. οἶδα (superscr. εν) A 7 τοῦτο] του τῶ B ib. κλοβίω A ib. αὐτου] αὐτῶ B 8 μέχρι om. B 8 sq. ἐπιστροφῆς B 11 τοῦ om. A 12 σὺν ἠδείας αὐτῇ B 14 τὰ om. B 15 ἐξεφώνησε B 16 μὲντη A 17 ἀπήγγειλε καὶ αὐτὴν B 21 lemma codicum: καὶ ἕτερον (D καὶ ἑτέρω, F δεύτερον) διήγημα τοῦ πρώτου φιλοσόφου ib. φυλῆς ἦν Ebh. 22 φθεγκόμενον et infra (p. 17,25) σπόγκον F 23 κλοβῷ DF 28 ταξιδίου D 30 κυρίῳ] ἀνδρὶ et in marg. κυρίῳ D 31 ἔλεγε] ὑπέλαβε Eberhard

μένη ὀργίλως αὐτῇ καὶ πικρῶς ἔλεγεν ὅτι· ὄντως σὺ τὰ πραχθέντα μοι τῷ ἀνδρί μου δεδήλωκας. ἡ δὲ δούλη τὴν ἔφορον ὤμνυε δίκην ὡς οὐδὲν αὐτῷ περὶ τῆς κυρίας ὁπωσοῦν λελάληκεν· ἀλλ' ὁ ψιττακός, φησί, μᾶλλον τὰ περὶ σοῦ τῷ ἀνδρί σου διετράνωσεν. ἡ δὲ γυνὴ τούτου ἀκούσασα τοῦ ῥήματος καὶ συνεῖσα παρὰ τοῦ ὀρνέου μᾶλλον ἑαυτὴν κατηγορηθῆναι ἐμηχανήσατο ψευδῆ τὸν ψιττακὸν τῷ ἀνδρὶ ἀποδεῖξαι. αὐτίκα γοῦν πρὸς ἑαυτὴν τοῦτον λαβοῦσα παρ' ὅλην τὴν ἐπιοῦσαν νύκτα ἐντὸς τοῦ ἰδίου κλωβίου τοῦτον παρακατεῖχεν ἔνθα δὴ καὶ συνήθως ἡ γυνὴ ἐκοιτάζετο, καὶ δὴ τὰ τῆς μηχανῆς ἐπ' αὐτῷ οὕτω πως διεπράξατο· χειρόμυλον γάρ τινα πλησίον τοῦ ψιττακοῦ διετέλει συστρέφουσα, ἐξ οὗ καὶ ἦχος βροντώδης εὐθὺς ἀπετελεῖτο· πρὸς δὲ καὶ κάτοπτρον ἀπέναντι τῶν τοῦ ὀρνέου ὀφθαλμῶν περιέστρεφεν, ὅπερ δὴ ἀποστίλβον ἀστραπηβόλοις αὐγαῖς ἀφομοιοῦτο. σὺν τούτοις καὶ σταλαγμοὺς ὕδατος τοῦ ψιττακοῦ μακρόθεν κατέσταζεν. ὁ δὲ ψιττακὸς τούτων οὕτω τελουμένων ἐδόκει ὡς ἀληθῶς δι' ὅλης τῆς νυκτὸς ἐκείνης ὑετὸν καταφέρεσθαι καὶ βροντὰς ἀπηχεῖσθαι καὶ ἀστραπὰς ἀπαυγάζεσθαι. ἕωθεν οὖν ὁ ἀνὴρ τῆς γυναικὸς ἐπιστὰς τῷ ψιττακῷ φησὶ πρὸς αὐτόν· τί δήποτε ταύτῃ τῇ νυκτὶ ἑώρακας; ὁ δὲ τῷ αὐτοῦ κυρίῳ ἀντέφησεν· τῆς νυκτὸς ταύτης ὁ ὑετὸς καὶ αἱ συνεχεῖς βρονταὶ καὶ ἀστραπαὶ οὐκ εἴασάν με τὸ παράπαν ἑωρα-

RETRACTATIO.

πραχθέντα μοι πάντα ἀπήγγειλας; ἡ δὲ δούλη μεγάλως ὤμνυεν ὡς οὐδ' ὁπωσοῦν περὶ αὐτῆς τῷ κυρίῳ λελάληκεν· ἀλλ' ὁ ψιττακός, ἴσθι, κυρία, τὰ περὶ σοῦ ἅπαντα τῷ κυρίῳ ἐλάλησεν. ἡ δὲ γυνὴ τοῦτο ἀκούσασα, τὴν παρὰ τοῦ ὀρνέου κατηγορίαν, ἐτεχνάσατο πῶς ψευδῆ τὸν ψιττακὸν ἀποδεῖξαι τῷ ἀνδρὶ αὐτῆς. καὶ τῇ ἐπιούσῃ νυκτὶ λαβοῦσα τὸν ψιττακὸν μετὰ τοῦ κλωβοῦ ἔνθα κοιμωμένη ἐτύγχανε, χειρόμυλον πλησίον τοῦ ψιττακοῦ θεῖσα συνέστρεφε, ἐξ οὗ κτύπος ἠκούετο ὡς βροντή· ἔμπροσθεν δὲ τούτου καθρέπτην περιεκύκλου τοῖς ὀφθαλμοῖς τοῦ ὀρνέου, ὡς δοκεῖν ἀστραπὰς ἀποπέμπειν. σὺν τούτοις καὶ σπόγγον βεβρεγμένον ἄνωθεν τοῦ ψιττακοῦ κρεμάσασα σταλαγμοὺς ὕδατος ἐπάνω τούτου ῥέειν πεποίηκεν. ὁ δὲ ψιττακὸς τούτων οὕτω γινομένων, αὐτῷ τῷ ὀρνέῳ ἐδόκει δι' ὅλης τῆς νυκτὸς ἐκείνης βρέχειν καὶ, τῇ γωνίᾳ τοῦ κλωβοῦ ὑπεκρύπτετο, ἀστραπὰς καὶ βροντὰς ἀπηχεῖσθαι καὶ ἀπαυγάζεσθαι. πρωΐας οὖν ὁ | ἀνὴρ τῆς γυναικὸς τῷ ψιττακῷ προσελθὼν φησὶ πρὸς αὐτόν· τί δή ποτε τῇ p. 23
νυκτὶ ταύτῃ ἑώρακας; ὁ δὲ ψιττακὸς ἀντέφησε· τῆς νυκτὸς ἡ βροχὴ καὶ αἱ βρονταὶ καὶ ἀστραπαὶ οὐκ ἀφήκασί με τὸ καθόλου ἰδεῖν τί ἄρα ταύτῃ τῇ νυκτὶ ἐγεγόνει.

---

2 cf. Aeliani fr. 160 Herch. (Suid. s. v. νέμεσις): Νεμέσεως ἐφόρου ib. αὐτῇ B 4 διετράνωσε B ib. τοῦτο A 5 μάλον A 7 νύκταν A ib. δὴ A, om. B 8 πῶς A 9 συστρεφόμενος B 11 sq. ἀφομοιοῦτω A, ἀφομοιούτω B 12 τοῦ] οὐ A. fuitne οὐ olim ad μακρόθεν adscriptum? 13 τοῦτον et τελοῦμενον A 16 ἀντέφησε B 17 αἱ om. B 21 ἀποδεῖξαι Ebh. vix recte, neque ἐτεχνάσατό πως scribendum; cf. infra p. 151 Boiss. et Hatzidakis Einleitung in die neugr. Gr. p. 215 24 sq. καθρέπτην σὺν τούτοις ceteris omissis D 26 sqq. haec eo turbata sunt quod metaphrasta postquam de suo addidit αὐτῷ τῷ ὀρνέῳ, sive oblitus est sive noluit inducere vv. ὁ δὲ ψιττακός. nam anacoluthia offensus aliquis ad illa scilicet supplenda adscripsit in margine: τῇ γωνίᾳ τοῦ κλωβοῦ ὑπεκρύπτετο (ἀπεκρύπτετο D), quod supplementum, ne forte de origine eius dubitares, alienissimo loco orationi insertum est 31 ἀφήκασι aoristus?

B f. 66 κέναι τί ἄρα τῇ | νυκτὶ ταύτῃ γεγόνει. ὁ δὲ ἀνὴρ τούτων παρὰ τοῦ ὀρνέου ἀκούσας καθ' ἑαυτὸν ἔλεγεν· ὄντως οὐδὲν τῶν τοῦ ὀρνέου τούτου ἀγγελιῶν ἀληθές ἐστιν τὸ σύνολον, ἀλλὰ πάντα δὴ τὰ παρ' αὐτοῦ μοι φθεγγόμενα ψευδῆ καὶ ἀπατηλὰ πεφύκασιν, ὃ καὶ δῆλον ἐξ ὧν μοι τανῦν ἀποφθέγγεται, ὅτιπερ οὐδὲν A f. 261 τούτων τῇ νυκτὶ ταύτῃ συμβέβηκεν· οὔτε γὰρ ὑ|ετὸς κατηνέχθη οὔτε βρονταὶ ἀπηχήθησαν οὔτε ἀστραπαὶ ἀπηύγασαν. ὅθεν, φησί, καὶ ὅσα μοι περὶ τῆς συζύγου παρὰ τοῦ ψιττακοῦ ἠγγέλη ψεῦδός τε καὶ ἀπάτη τῷ ὄντι ἐτύγχανον. ταῦτα οὖν ἡ πονηρὰ ἐκείνη γυνὴ πανούργως μηχανησαμένη, ἤδη, βασιλεῦ, ὡς ἀκούεις τὸν ἄνδρα ἠπάτησεν καὶ τὴν ἐκείνου φρόνησιν κατὰ κράτος νενίκηκε τόν τε ψιττακὸν ψευδῆ ἀπέδειξεν, καὶ οὕτως αὐτῇ ὁ ἀνὴρ διηλλάγη. γνῶθι τοιγαροῦν, ὦ βασιλεῦ, ὡς οὐδεὶς δεδύνηται κατά τι τῶν πονηρῶν γυναικῶν τὸ σύνολον περιγίνεσθαι. τούτων ὁ βασιλεὺς Κῦρος παρὰ τοῦ θατέρου συνβούλου τε καὶ φιλοσόφου ἀκηκοὼς εὐθὺς ἀναβάλλεται τὴν ἀπόφασιν, μᾶλλον δὲ αὐτὴν ἀνατρέπει καὶ κελεύει μὴ ἀναιρεθῆναι τὸν υἱὸν αὐτοῦ.

Ἡ μέντοι τοῦ βασιλέως πονηροτάτη παλλακὴ τῇ ἐπαύριον πάλιν πρὸς αὐτὸν παραγεναμένη καὶ παραστᾶσα τούτῳ σὺν δάκρυσιν ἡ κατάρατος ἔλεγεν· οὐ πρέπον ἐστίν, ὦ βασιλεῦ, τὸν ἅπαξ γεγονότα κατάδικον καὶ τοῦ θανάτου ἔνοχον μὴ εὐθὺς ἀπολέσθαι· εἰ γὰρ μὴ τὸν τοιοῦτον ἀναιρεῖσθαι προστάττεις, οὐ-

RETRACTATIO.

ὁ δὲ ἀνὴρ τούτους τοὺς λόγους τοῦ ὀρνέου ἀκούσας καθ' ἑαυτὸν ἔλεγεν· ὄντως οὐδὲν ἐστὶν ἀληθὲς ὅσα ἀνήγγειλέ μοι τὸ ὄρνεον, ἀλλὰ πάντα ὅσα μοι ἐλάλησε ψευδῆ πεφύκασι καὶ ἀπατηλά, καθὼς ἐστὶν φανερὸν ἐξ ὧν τὰ νῦν μοι ἀποφθέγγεται· οὐδὲν γὰρ τῇ νυκτὶ ταύτῃ συμβέβηκεν· οὔτε ὑετὸς κατηνέχθη οὔτε βρονταὶ ἀπηχήθησαν οὔτε ἀστραπαὶ ἀπηύγασαν. ὅθεν, φησί, καὶ ὅσα μοι περὶ τῆς συζύγου ὁ ψιττακὸς εἴρηκε ψεῦδος ἦσαν ἀληθῶς καὶ ἀπάτη. ταῦτα ἡ πονηρὰ ἐκείνη γυνὴ πονηρῶς τεχνευσαμένη, ἤδη, βασιλεῦ, ἀκούεις πῶς τὸν ἄνδρα ἠπάτησε καὶ τὴν ἐκείνου φρόνησιν ἐνίκησε τελείως καὶ τὸ ὄρνεον ψευδὲς ἀπέδειξε, καὶ οὕτως αὐτῇ ὁ ἀνὴρ διηλλάγη καὶ ὡς τὸ πρότερον p. 24 ἐφίλει. γίνωσκε γάρ, ὦ βασιλεῦ, ὡς οὐδεὶς δεδύνηται κατά | τι τῶν πονηρῶν γυναικῶν περιγενέσθαι τὸ σύνολον καὶ ταύτας νικῆσαι. τούτων ὁ βασιλεὺς Κῦρος παρὰ τοῦ ἑνὸς φιλοσόφου ἀκούσας εὐθὺς ἀνεβάλλετο τὴν ἀπόφασιν, μᾶλλον δὲ αὐτὴν ἀνατρέπει καὶ κελεύει μὴ ἀναιρεῖν τὸν υἱὸν αὐτοῦ.

Ἡ μέντοι τοῦ βασιλέως πονηροτάτη παλλακὴ τῇ ἐπαύριον πάλιν πρὸς αὐτὸν παραγενομένη καὶ παραστᾶσα τούτῳ σὺν δάκρυσιν ἡ κατάρατος ἔλεγεν· οὐ δίκαιον ἐστίν, ὦ βασιλεῦ, τὸν ἅπαξ γεγονότα κατάδικον καὶ τοῦ θανάτου ἔνοχον μὴ εὐθὺς ἀπολέσαι· εἰ γὰρ μὴ τὸν τοιοῦτον ἀναιρεῖσθαι προστάττεις, οὐδεὶς ἔσται πεποιθὼς καὶ θαρρῶν

---

1 ταύτῃ τῇ | νυκτὶ ἐγεγόνει B ib. τοῦτον παρα A 2 τῶν τοῦ ὀρνέου ἀκούσας ἀγγελίων A, τοῦ ὀρνέου τούτου ἄγγελον B 3 ἐστι B ib. μοι om. B. 5 τοῦτον A, om. B ib. ὑι|ετὸν A 7 ἠγγελή A 9 ἠπάτησε B ib. καταχράτως B 10 ἐναπέδειξε B ib. οὗτος αὐτῆς A ib. διηλλάττετο B 12 τοῦτον A ib. χύρος A 14 ἀναιρεῖν B 15 παλακὴ A 16 ἑαυτὸν B 17 ὁ βασιλεῦ A 18 προστάτης A, προστάττει B 24 τεχνασαμένη? Ebh. 27 ὦ βασιλεῦ add. F ib. δύνηται EF 29 ἀνεβάλετο? Ebh. ib. αὐτὴ] τὴν D 31 παλακὴ F

δεὶς ἔσται πεποιθὼς ἐπὶ τὴν τοῦ κράτους σου δικαιοσύνην. ἦν γάρ τις γναφεὺς ἀνήρ, ὅς ἔν τινι πλύνων ποταμῷ εἶχεν σὺν αὐτῷ καὶ τὸν υἱὸν αὐτοῦ. ὁ δέ γε τούτου υἱὸς ἐν τοῖς ὕδασι τοῦ ποταμοῦ παίζων καὶ νηχόμενος διετέλει, εὐθὺς δὲ αὐτὸν τὰ ὕδατα κατακλύζοντα ἀπέπνιγον. εἰσελθὼν δὲ ὁ πατὴρ αὐτοῦ τὸν παῖδα ἐξελέσθαι ἐκεῖθεν ἠπείγετο, σφοδρὸς δὲ τῷ ῥεύματι φερόμενος ὁ ποταμὸς ἀμφοτέρους κατακλύσας εὐθὺς ἐναπέπνιξεν. οὕτως καὶ σὺ ἀπολῇ, βασιλεῦ, εἰ μὴ προαπολέσεις θᾶττον τὸν υἱόν σου. εἰ γὰρ ὑπέρθῃ τὴν ἐκείνου ἀναίρεσιν μικρὸν ὅσον, τραχηλιάσας σου πάντως κατεξαναστήσεται καὶ μετά γε τῆς βασιλείας καὶ αὐτῆς σε τῆς ζωῆς ἀπορρήξει; τούτων ἀκούσας τῶν ὀλεθρίων ῥημάτων παρὰ τῆς γυναικὸς ὁ Κῦρος πάλιν τὸν υἱὸν ἀποκτανθῆναι διακελεύεται.

Ἕτερος δὲ τῶν ἑπτὰ σοφωτάτων τοῦ βασιλέως συμβούλων ὁ δεύτερος παραστὰς αὐτῷ καὶ ἐπὶ τῆς γῆς συνήθως προσκυνήσας ἔφη· βασιλεῦ, εἰς τὸν αἰῶνα ζῆθι. ἠκηκόειν αὖθίς σε κατὰ τοῦ σοῦ υἱοῦ θάνατον ἀποφήνασθαι. διὸ καὶ δουλικῶς ἀναφέρω τῷ κράτει σου ὡς εἰ ἑκατὸν σχεδὸν προσυπῆρ|χόν σοι A f. 262
παῖδες, οὐκ ἔδει σε πάντως ἕνα τούτων καὶ μόνον θανάτῳ ὑποβαλεῖν· πόσῳ γε μᾶλλον ἕνα ἔχοντα | παῖδα φιλοστόργως χρὴ τῆς αὐτοῦ ζωῆς περιέχεσθαι; σὺ δέ, B f. 67
βασιλεῦ, τοὐναντίον κελεύεις αὐτὸν ἀναιρεθῆναι, ὅπου γε δεῖ μᾶλλον συζητῆσαι

RETRACTATIO.

εἰς τὴν τοῦ κράτους σου δικαιοσύνην. ἦν γάρ τις ἀνήρ, ὦ βασιλεῦ, πλύνων δέρματα, ὅς ἔν τινι ποταμῷ πλύνων εἶχε σὺν αὐτῷ τὸν υἱὸν αὐτοῦ. ὁ δὲ τούτου υἱὸς ἐν τοῖς ὕδασι παίζων τοῦ ποταμοῦ καὶ κολυμβῶν, εὐθὺς τὸν παῖδα ὁ ποταμὸς κατέκλυζε καὶ ἀπέπνιγεν. εἰσελθὼν δὲ ὁ πατὴρ ὥστε τὸν παῖδα τοῦ κιν|δύνου ἐλευθερῶσαι, σπουδὴν p. 25
εἶχε τὴν πρὸς αὐτόν. σφοδρῶς δὲ τῷ ῥεύματι φερόμενος ὁ ποταμὸς ἀμφοτέρους κατακλύσας ἀπέπνιξεν. οὕτω καὶ σύ, βασιλεῦ, ἀπολῇ, εἰ μὴ προαπολέσεις τὸν υἱόν σου θανάτῳ. εἰ γὰρ ὑπερτίθεσαι τὴν ἐκείνου ἀναίρεσιν μικρὸν ὅσον, κατεπαρθείς σου πάντως ἐξαναστήσεται καὶ μετά γε τῆς βασιλείας καὶ τῆς ζωῆς ἀποστερήσει. τούτων ἀκούσας τῶν λόγων ὁ Κῦρος πάλιν τὸν υἱὸν ἀποκτανθῆναι διακελεύεται.

Ὁ δὲ δεύτερος φιλόσοφος παραστὰς τῷ βασιλεῖ καὶ ἐπὶ τῆς γῆς συνήθως προσκυνήσας ἔφη· βασιλεῦ, εἰς τὸν αἰῶνα ζῆθι. ἀκήκοα πάλιν σὲ κατὰ τοῦ σοῦ υἱοῦ θάνατον ἀποφήνασθαι. διὸ καὶ δουλικῶς ἀναφέρω τῷ κράτει σου ὡς εἰ καὶ ἑκατόν, εἰ δυνατόν, προϋπῆρχόν σοι παῖδες, οὐκ ἔδει σε ἕνα τούτων θανάτῳ ὑποβαλεῖν, καὶ τὸ μεῖζον ἀναιτίως· πολλῷ μᾶλλον ἕνα ἔχοντά σε παῖδα, πῶς σε χρὴ φιλοστόργως τῆς ζωῆς αὐτοῦ περιέχεσθαι; σὺ δὲ τοὐναντίον ἅπαν, ὦ βασιλεῦ, κελεύεις ἀναιρεθῆναι αὐτόν, ὅπου γε | μᾶλλον πρέπει ἐρευνῆσαι πρότερον εἰ ἀληθὴς ἄρα καὶ οὐ ψευδὴς καὶ p. 26

---

1 κράτουσου A ib. in marg. m. rec.: [πε(ρὶ) τ]οῦ ποταμοῦ A 4 τὰ ὕδατα A, om. B 5 ἐκείθεν ἠπήγετο A, ἐκεῖ ὑπείγετο B ib. σφοδρῶς B fortasse vere 6 ἐναπέπνιξε B 7 προὰπολέσης θανάτω B 8 τραχιληάσας ὀὺ A 9 ἀπορρήξη A, ἀπορίξει B 10 κύρος AB ib. διακελεβέτε: — ea β litterae forma quam supra ad p. 5, 16 significavimus 11 in marg. m. rec.: ὁ δεύτερος φιλόσοφος A 13 ἠκόην B ib. αὔθης σὲ A 14 ὡσεὶ B ib. πρὸσ ὑπήρχον A, προὑπῆρχον B 15 θάνατω A 17 δεῖ] δὴ supra versum B 18 lemma codicum: διήγησις τῆς πονηρᾶς γυναικός 20 αὐτὸν παῖδα D 24 κατεπαρθεὶς σοῦ F 25 ζωῆς σε? Ebh. 27 lemma codicum: δευτέρου φιλοσόφου δημηγορία ib. ὁ δ'ἕτερος et e corr. ὁ δεύτερος D 33 πότερον E

πρότερον εἰ ἀληθὴς ἄρα καὶ οὐ δολερὰ ἡ κατ' αὐτοῦ προτεθεῖσα διαβολὴ πέφυκε. σκέψαι τοιγαροῦν, ὦ δέσποτα, μήπως ἀδίκως τὸν υἱόν σου ἀνέλῃς καὶ πικρῶς ἐσύστερον μεταμεληθεὶς σεαυτὸν ἀνωφελῶς αἰτιάσῃ, καὶ ζητήσεις πάλιν τὸν υἱόν σου μάλα ἐμπόνως καὶ οὐχ εὑρήσεις αὐτόν. συμβήσεται γάρ σοι ὥσπερ τινὶ ἐμπόρῳ συμβεβηκέναι λέγεται. φασὶ γὰρ περὶ ἐκείνου ὡς ἐάν τι ῥυπῶδες ἑώρα, εἴτε τῶν ἐσθιομένων εἴτε δὴ τῶν πινομένων εἰδῶν, οὐδόλως αὐτοῦ μετελάμβανε. μιᾷ γοῦν τῶν ἡμερῶν ἐπ' ἐμπορίαν ἐστέλλετο, καί τινα πόλιν καταλαβὼν ἐν αὐτῇ κατέλυσεν. εἶτα τὸν αὐτῷ ὑπηρετοῦντα νεανίσκον ἐπὶ τὴν ἀγορὰν ἐκπέμπει ὄψα αὐτῷ ὠνησόμενον. ὁ δὲ ἀπελθὼν ἐντυγχάνει τινὶ νεάνιδι δύο καθαροὺς ἄρτους ἐπιφερομένῃ καὶ τούτους εἰς ὤνησιν τῷ βουλομένῳ προτεινούσῃ. τῇ γοῦν αὐτῶν καθαρότητι καὶ τῷ τῆς θέας ἐπαγωγῷ ἡσθεὶς ὁ ὑπηρέτης εὐθὺς τοὺς ἄρτους ὠνήσατο καὶ τῷ αὐτοῦ κυρίῳ ἀποκεκόμικεν. ὁ δὲ ἔμπορος τούτους φαγὼν ἐνηδύνθη μᾶλλον τῇ αὐτῶν μεταλήψει, καὶ φησὶ τῷ νεανίσκῳ· καθεκάστην ἀπὸ τούτου ἐξωνοῦ μοι τοῦ ἄρτου καὶ ἄγε μοι τοῦ φαγεῖν. ὁ δὲ νέος οὕτω κατὰ τὸ διαταχθὲν αὐτῷ ἐποίει καὶ διόλου τοὺς ἄρτους ἀπ' ἐκείνης ἐξωνεῖτο τῆς νεάνιδος καὶ τῷ αὐτοῦ κυρίῳ ἀπεκόμιζεν. ἐν μιᾷ δὲ πρὸς τὴν ἀγορὰν ἀπελθὼν εὑρίσκει τὴν νεάνιδα ἐκείνην μηδὲν συνήθως ἀπεμπολοῦσαν, καὶ πρὸς τὸν ἔμπορον ἐπανακάμψας

RETRACTATIO.

πανοῦργος ὑπάρχει ἡ κατ' αὐτοῦ προτεθεῖσα διαβολή. σκέψαι τοιγαροῦν, ὦ δέσποτα, μή πως ἀδίκως τὸν υἱόν σου φονεύσεις, καὶ πικρῶς ἐς ὕστερον μεταμεληθεὶς σεαυτὸν ἀνωφελῶς αἰτιάσῃ καὶ μέμψῃ, καὶ πολλὰ ζητήσας τὸν υἱόν μετὰ δακρύων καὶ πόνου οὐχ εὑρήσεις, καὶ συμβήσεταί σοι ὥσπερ τινὶ ἐμπόρῳ συμβεβηκέναι λέγεται τοῦτο. φασὶ γὰρ περὶ ἐκείνου ὡς ἐάν τι ῥυπῶδες ἑώρα εἴς τι τῶν ἐσθιομένων ἢ εἴς τι τῶν πινομένων εἰδῶν, οὐδόλως αὐτοῦ μετελάμβανε. ἐν μιᾷ γοῦν τῶν ἡμερῶν ἐπὶ πραγματείαν ἐξεπορεύετο καὶ εἴς τινα πόλιν καταλαβὼν ἐν αὐτῇ κατέλυσεν. εἶτα τὸν αὐτῷ ὑπηρετοῦντα νεανίσκον ἐπὶ τὴν ἀγορὰν ἐκπέμπει τὰ πρὸς τροφὴν αὐτοῦ ἐξωνήσασθαι. ὁ δὲ ἐντυγχάνει τινὶ νεάνιδι ἐν χερσὶ φερούσῃ δύο καθαροὺς ἄρτους καὶ τούτους εἰς ἀγορὰν προκαλουμένῃ τῷ βουλομένῳ παντί. τῇ γοῦν τῶν ἄρτων καθαρό-
p. 27 τητι καὶ τῷ τῆς θεωρίας κάλλει εὐφρανθεὶς ὁ ὑπηρέτης τοὺς ἄρτους ἠγόρασε καὶ τῷ κυρίῳ προσήνεγκε. ὁ δὲ ἔμπορος τοὺς ἄρτους φαγὼν ηὐφράνθη πολλὰ τῇ αὐτῶν τροφῇ καὶ λέγει τῷ νεανίσκῳ· καθ' ἡμέραν ἀπὸ τούτων ἀγόραζέ μοι τῶν ἄρτων εἰς ἡμετέραν τροφήν. ὁ δὲ ὑπηρέτης οὕτως ἐποίει καθὼς παρηγγέλθη, ἀγοράζων ἀπὸ τῆς γυναικὸς ἐκείνης καὶ κομίζων τῷ κυρίῳ αὐτοῦ. μιᾷ δὲ τῶν ἡμερῶν ἀπελθὼν ὁ ὑπηρέτης εἰς τὴν ἀγορὰν εὑρίσκει τὴν νεάνιδα μὴ ἔχουσαν τοὺς συνήθεις ἄρτους. ἐπανα-

---

1 οὐ om. A   2 μηπῶς A   3 πάλιν] μᾶλα B   4 μάλλα A, om. B   ib. ὥσπέρ A   5 φησι B   7 ἐμπορίαν] ἐμπερίαν (πε supra) B   8 κατέλυσε B   ib. αὐτῷ] αὐ (τ supra) B (sicut v. seq.), αὐτοῦ A   ib. ὑπηρέτοῦντα A   10 βουλομενῶ προτεῖνούσει A   11 τῆς θείας B   13 μάλλον A, μάλα B   ib. καθ' ἑκάστην B   14 τούτων et τῶν ἄρτων B (abnuit Syrus)   15 δι' ὅλου B, διὅλου A   ib. ἀπ' ἐκείνης add. B   16 αὐτῶ B   19 ἀδίκως ἐσύστερον D mediis omissis   ib. ἐσύστερον F «ut saepe» (Ebh.)   21 ὥσπέρ F   22 lemma codicum: παράδειγμα τοῦ δευτέρου φιλοσόφου   ib. γὰρ om. F   27 προβαλομένη (voluit fortasse προβαλλομένη)? Ebh.   33 sq. ἀναστρέψας EF, καὶ ἐπαναστρέψας Ebh.

λέγει αὐτῷ· γνωστὸν ἔστω σοι, κύριέ μου, ὡς οὐκέτι ἐξ ἐκείνου τοῦ ἄρτου ἠδυνήθην σοι ἐφευρεῖν· νεᾶνις γάρ τις τοῦτόν μοι ἐπίπρασκεν καὶ νῦν οὐδὲν οὐκέτι τοῦ διαπωλεῖν κέκτηται. ὁ δὲ ἔμπορος τῷ ὑπηρέτῃ φησί· κάλεσόν μοι λοιπὸν ἐκείνην τὴν νεάνιδα, ὅπως ἡμῖν διασαφήσει πῶς τὸν ἄρτον ἐκεῖνον μέχρι τοῦ νῦν παρεσκεύαζεν καὶ εἰς τὸ ἑξῆς ἡμεῖς τοῦτον καθιστῶντες τοιόνδε ἐσόμεθα καὶ οὐκέτι τοῦ ὠνεῖσθαι προσδεηθῶμεν. ἄγει οὖν παρὰ τὸν ἔμπορον τὴν κόρην ὁ ὑπηρέτης, | καὶ φησὶν αὐτῇ ἐκεῖνος· λέγε μοι, ὦ νεᾶνις, πρὸς αὐτῆς τῆς ἀληθείας, A f. 263 πῶς τὸν ἄρτον ὃν ἐπώλεις τῷ ἐμῷ ὑπηρέτῃ οὕτως ἡδὺν παρεσκεύαζες; γλιχόμεθα γὰρ καὶ ἡμεῖς αὐτὸν παρομοίως σοι καθιστᾶν, ὅτιπερ ἡδὺς μάλα τῇ γεύσει ἡμῖν ἀπεκατεφάνη. ἡ δὲ πρὸς αὐτόν, τραῦμά τι, φησίν, ἐνεφύη τοῖς νώτοις τῆς κυρίας μου, περὶ οὗ δὴ πρὸς αὐτὴν ὁ ἰητρὸς ἔφησεν· ἄλευρον, ὦ γύναι, καθαρώτατον ἄγουσα καὶ τοῦτο βουτύρῳ τε | καὶ μέλιτι φύρουσα ἐπιτίθει σου τῷ B f. 68 τραύματι, μέχρις ἂν αὐτῷ παντελὴς ἡ ῥῶσις προσγένηται. ἡ δέ γε κυρία μου λοιπὸν κατὰ τὴν τοῦ ἰητροῦ ἐποίει διάταξιν. ὁσάκις δὲ παρ' ἡμῶν ἐξῄρετο τῆς πληγῆς ἐκεῖνο τὸ φύραμα, αὐτίκα ἀπέρριπτο. ἐγὼ δὲ τοῦτο μετὰ ταῦτα τῆς γῆς ἐξαίρουσα εἰς ἄρτους παρεσκεύαζον, καὶ ἐρχόμενος ὁ σὸς ὑπηρέτης ἐξ αὐτῶν ὠνεῖτό σοι. νυνὶ δὲ τοῦ τῆς δεσποίνης μου τραύματος τέλεον ὑγιάναντος οὐκέτι μοι χρεία ἐστὶν ἐκεῖνόν γε τὸν ἄρτον παρασκευάζειν. τούτων οὕτω παρὰ τῆς

RETRACTATIO.

στρέψας πρὸς τὸν κύριον αὐτοῦ λέγει αὐτῷ· γνωστὸν ἔστω σοι, κύριέ μου, ὡς ἐξ ἐκείνου τοῦ ἄρτου οὐκ ἠδυνήθην εὑρεῖν· μία γὰρ νεᾶνις ἐπώλει καὶ νῦν οὐκ ἔχει πωλῆσαι. ὁ δὲ ἔμπορος φησὶ τῷ ὑπηρέτῃ· λάλησόν μοι τὸ λοιπὸν ἐκείνην τὴν νεάνιδα, ὅπως ἡμῖν εἴπῃ πῶς τὸν τοιοῦτον καλὸν ἄρτον οὕτως ἡδύτατον κατεσκεύαζεν. ὅθεν καὶ ὁ ὑπηρέτης φέρει τὴν κόρην πρὸς τὸν ἔμπορον. ὅτε καὶ λέγει πρὸς τὴν κόρην ὁ ἄρχων· λέγε, ὦ νεᾶνις, μετὰ ἀληθείας πῶς τὸν ἄρτον ὃν ἐπώλεις τῷ ἐμῷ ὑπη|ρέτῃ οὕτως p. 28 ἡδὺν κατεσκεύαζες· ἐπιθυμοῦμεν γὰρ καὶ ἡμεῖς ὅμοιον ἄρτον ποιῆσαι καθὼς σὺ ἐποίεις. ἡ δὲ γυνὴ πρὸς αὐτὸν ἔλεγεν ὡς· ἐν τοῖς ὤμοις τῆς κυρίας μου τραῦμά τι ἀνεφάνη, καὶ περὶ τοῦ τραύματος ἐκείνης ὁ ἰατρὸς εἶπέ μοι· καθαρώτατον ἄλευρον, ὦ γύναι, φέρουσα καὶ τοῦτο βουτύρῳ καὶ μέλιτι φύρουσα καὶ μιγνύουσα ἐπιτίθει τῷ τραύματι, μέχρις ἂν αὐτῷ τῷ τραύματι ἡ παντελὴς ὑγεία προσγένηται. ἡ δέ γε κυρία μου λοιπὸν κατὰ τὴν τοῦ ἰατροῦ ἐποίει διάταξιν. ὁσάκις δὲ τὸ ζυμάριον τῆς πληγῆς ἀφῃρεῖτο, αὐτίκα ἔρριπτεν αὐτό, κἀγὼ ὕστερον τοῦτο ἐκ τῆς γῆς λαμβάνουσα εἰς ἄρτους μετεσκεύαζον, καὶ ὁ σὸς ὑπηρέτης τούτους εὑρίσκων ἠγόραζε. νῦν δὲ τοῦ τραύματος τῆς κυρίας μου παντελῶς ὑγιάναντος, οὐκ ἔτι χρεία ἐστὶν ἐκεῖνον τὸν ἄρτον

---

2 γὰρ τίς τοῦτον A, γὰρ τοῦτο B 5 ἡμεῖς τούτον καθιστόντες A, τοῦτον ἡμῖν καθιστῶντες B 6 οὖν om. B 8 ἡδὺν] εἰσδὺν A, ἴδεῖν B 10 ἀπεφάνη B ib. νώτοις confirmatur a Syro («auf dem Rücken» Bäthgen) 11 αὐτὸν B 12 τοῦτον AB ib. φυροῦσα B 14 ἴτροῦ A ib. ἐξαιρε.α B pr. 15 ἀπέριπτο B. fort. leg. ἀπερρίπτετο 17 δεσποινης A ib. τέλειον B 20 γὰρ] δὲ EF 21 τολοιπὸν F saepe 26 τραύματι F 28 τούτῳ F ib. μέλιτι φέρουσα D 29 τῷ τραύματι seclusit Ebh. ib. γε om. EF

κόρης ῥηθέντων πρὸς τὸν ἔμπορον εὐθὺς ἐκεῖνος πικρότατα μυσαχθεὶς τὸν θάνατον αὐτὸς καθ' ἑαυτοῦ ἐκαλεῖτο, καὶ διαπορούμενος θεραπείαν ἐπιθεῖναι τῷ πράγματι καθ' ἑαυτὸν ἔλεγε· τὸ μὲν στόμα καὶ τὰς χεῖράς μου ἤδη εὐχερῶς ἀπονίψασθαι ἔχω, πῶς δὲ καὶ τὴν κοιλίαν ἔσωθεν ἐκκαθάρω; οὕτως οὖν, ὦ βασιλεῦ, δέδοικα μήπως καὶ τῷ σῷ κράτει ὡς τῷ ἐμπόρῳ ἐκείνῳ συμβήσεται, καὶ ζητήσεις ὡς προεῖπόν σοι τὸν σὸν υἱὸν καὶ οὐκέτι εὑρήσεις.

Ταῦτα ὁ δεύτερος φιλοσοφώτατος σύμβουλος τῷ βασιλεῖ εἰρηκὼς προσέθετο τοῖς αὐτοῦ λόγοις καὶ τοῦτο ὡς· τῶν γυναικῶν τοὺς δόλους πολλούς τε καὶ ποικίλους, ὦ βασιλεῦ, τυγχάνειν ἀκήκοα. ἐξ ὧνπερ νῦν μίαν σοι παρατίθημι διήγησιν.

Γυνὴ γάρ τις ἦν ἐραστήν τινα κεκτημένη, ὃς καὶ τῶν τοῦ βασιλέως εἷς ἐτύγχανε δορυφόρων. καὶ ἐγένετο ἐν μιᾷ τὸν ἐραστὴν ἐκεῖνον πρὸς τὴν ἐρωμένην ἀπεσταλκέναι τὸν ἑαυτοῦ οἰκέτην τοῦ θεάσασθαι εἰ ὁ ἐκείνης σύνευνος ἐν τῇ οἰκίᾳ πάρεστιν. ἡ δὲ γυνὴ θεασαμένη τὸν τοῦ ἐραστοῦ δοῦλον κατέσχε τοῦτον καὶ πρὸς συνουσίαν αὐτῆς ἐβιάσατο. ὁ δὲ εὐθὺς αὐτῇ συγγινόμενος ἐχρόνιζεν πρὸς τὴν ἐπάνοδον. εἶτα ὁ αὐτοῦ κύριος εἰς ζήτησιν τοῦ δούλου ἐκεῖσε πα-

RETRACTATIO.

κατασκευάζειν. τούτων ἀκούσας τῶν λόγων ὁ ἔμπορος πικρότατα βδελυξάμενος ἀπο-
p. 29 θανεῖν παρεκάλει καὶ καθ' ἑαυτὸν διαπορούμενος τίνα θεραπείαν ἐπιθήσει | τῷ πράγματι, ἔλεγε πρὸς ἑαυτόν· τὸ μὲν στόμα καὶ τὰς χεῖρας εὐκόλως ἀπονίψασθαι ἔχω, τὴν δὲ κοιλίαν ἔνδοθεν ἐκκαθάραι οὐκ ἔχω. οὕτως οὖν, ὦ βασιλεῦ, πεφόβημαι μή πως ὅμοιόν τι τῷ ἐμπόρῳ τὸ σὸν πάθῃ κράτος, καὶ ζητήσεις τὸν υἱόν σου ὡς ἐκεῖνος τοὺς ἄρτους καὶ οὐχ εὑρήσεις.

Ταῦτα ὁ δεύτερος σύμβουλος τῷ βασιλεῖ γε εἰπὼν προσέθηκε τοῖς αὐτοῦ λόγοις καὶ τοῦτο ὡς· τῶν γυναικῶν τοὺς δόλους, ὦ βασιλεῦ, πολλοὺς καὶ ποικίλους εἶναι ἀκήκοα, ἐξ ὧν ἕνα τρόπον κακίας γυναικὸς παρατίθημι εἰς διήγησιν.

Γυνή τις ἦν ἔχουσα φίλον κατ' ἔρωτα, ὃς καὶ ὑπῆρχεν εἷς τῶν τοῦ βασιλέως στρατιωτῶν. ἔτυχε γοῦν τὸ κατ' ἐκεῖνο καιροῦ τὸν στρατιώτην πέμψαι τὸν δοῦλον αὐτοῦ πρὸς τὴν ἐρωμένην καὶ πυθέσθαι αὐτῇ ἤτοι ἐρωτῆσαι εἰ καιρὸς ἁρμόδιός ἐστι
p. 30 ἀπόντος τοῦ ἀνδρὸς αὐτῆς τὸν κύριον τούτου παραγενέ|σθαι. ὅτε καὶ ἡ ἀσελγὴς γυνὴ ἐρασθεῖσα τοῦ δούλου εἰς μίξιν τούτου ἐλθεῖν κατηνάγκασε. τούτου οὖν γενομένου καὶ τοῦ δούλου χρονίζοντος ἀπελθεῖν πρὸς τὸν κύριον αὐτοῦ καὶ ἀπαγγεῖλαι τί γέγονεν, ὁ

---

1 πρὸς om. B 2 αὐτὸν καθεαυτοῦ A, αὐτῶ καθ' ἑαυτῶ B 4 καὶ om. B ib. ἔνδοθεν B 5 ἐκεῖνο A 6 ζητήσης A ib. τὸν υἱόν σου B ib. εὑρησει A casu haud dubie omisso ς, quia ne punctum quidem additum est in fine paragraphi 7 φιλόσοφος B 8 καὶ etiam post προσέθετο inserit A ib. τούτω B 9 τε om. B 11 m. rec. in marg.: πε(ρὶ) τοῦ ἐραστοῦ καὶ οἰκέτου A ib. τῆς ἦν A, τίς ἐστιν B 12 εἰς (εἶς A) ἐτύγχανεν B ib. δορϋφόρῶν A 13 ἀποσταλκέναι B ib. οικέτὴν A ib. ὁ om. B 14 δὲ om. B 15 αὐτῇ συγγινόμενος] ἀντισυγγινόμενος AB 15 sq. ἐχρόνιζε B 16 εἶτα] εἰ B ib. ἐκεῖσε om. B 16 sq. παραγέγονε B 17 κατὰ ἠκάζειν D γ super κ scripto 18 καθ' ἑαυτόν] ἦλθε αὐτὸν D 28 ἤτοι ἐρωτῆσαι delenda censet Boiss. 30 ἐρεσθεῖσα F ib. τοῦτον ἐλθεῖν malebat Boiss.

ραγέγονεν. γνοῦσα δὲ ἡ γυνὴ ὡς ὁ ταύτης ἐ|ραστὴς τὰ ἐκεῖσε κατέλαβεν, λέγει A f. 264 τῷ αὐτοῦ οἰκέτῃ· εἴσελθε σὺ λοιπὸν πρὸς τὸν ἐνδότερον οἰκίσκον. καὶ τούτου γενομένου εἰσέρχεται πρὸς αὐτὴν ὁ ἐκείνου κύριος καὶ αὐτίκα ἐπ' αὐτῇ ἀκολασταίνειν ἀπήρξατο. ἐκείνων γοῦν ἀλλήλοις οὕτως συμφθειρομένων καὶ τοῦ δούλου ἐνδότερον προσκαρτεροῦντος ἀθρόον ὁ τῆς γυναικὸς ἀνὴρ παραγίνεται. ἡ δὲ μοιχαλὶς ἐδεδίει τῷ ἐραστῇ ἐξειπεῖν ἐνδότερον αὐτὸν εἰσιέναι, μήπως ἐκεῖνος τὸν ἑαυτοῦ οἰκέτην ἐκεῖσε θεάσαιτο· ὅθεν ἄλλως τὰ καθ' ἑαυτὴν διαθέσθαι ἐπινοησαμένη λέγει πρὸς τὸν μοιχόν· ἀπογύμνωσόν σου τὴν σπάθην καὶ τῶν ὧδε φάνηθι μετὰ θυμοῦ ἐξερχόμενος καὶ προσποιητῶς καθυβρίζων με, μὴ μέντοι γε | τῷ ἀνδρί μου προσφθέγξῃ. ὁ δὲ πεποίηκε καθάπερ αὐτῷ ἡ γυνὴ ἐπετείλατο B 69 καὶ ξιφηφόρος τῆς οἰκίας ἐξερχόμενος τὴν γυναῖκα θρασέως καθύβριζεν. ὁ τοίνυν τῆς γυναικὸς ἀνὴρ εἰσελθὼν ἔνθα ἡ γυνὴ ἐτύγχανεν, ἐπηρώτα αὐτὴν λέγων· τίς ὁ τρόπος τῆς ἐνταῦθα τοῦ ξένου τούτου παρουσίας, ὦ γύναι, καὶ τῆς μετὰ ξίφους πρὸς σὲ αὐτοῦ ὕβρεως; ἡ δὲ τῷ ἀνδρὶ ἔφη· τούτου τοῦ ξένου ὁ δοῦλος, ἄνερ, ἀποδιδράσκων αὐτὸν σύντρομος ἐνταῦθα κατέφυγεν, καὶ παρ' ἐμοῦ ἔνδον κατακρυβέντος ἐκείνου οὗτος ὁ αὐτοῦ κύριος βιαίᾳ χειρὶ πειρᾶται αὐτὸν ἐντεῦθεν ἐκβαλεῖν τε καὶ ἀπολέσαι· ἐμοῦ δὲ αὐτῷ ἀποτειχιζούσης τὴν εἴσοδον

RETRACTATIO.

κύριος παρεγένετο πρὸς ζήτησιν τοῦ δούλου. ἡ δὲ γυνὴ αἰσθομένη τοῦτο λέγει τῷ δούλῳ· εἴσελθε σὺ εἰς τὸ ἐσώτερον οἴκημα. καὶ τούτου γενομένου ὁ κύριος τοῦ δούλου ἐλθὼν πρὸς αὐτὴν συνεμίγνυτο. οὕτως οὖν ἐκείνων συμφθειρομένων καὶ τοῦ δούλου ἔσω προσκαρτεροῦντος ἐξαίφνης ὁ τῆς γυναικὸς ἀνὴρ παρεγένετο. ἡ δὲ μοιχαλὶς φοβουμένη τὸν μοιχὸν εἰσάξαι εἰς τὸ ἐνδότερον καὶ αὐτόν, μή πως θεάσοιτο τὸν ἑαυτοῦ δοῦλον, ἀλλοτρόπως ἐνόησε τὰ καθ' ἑαυτὴν ἐξοικονομῆσαι, καὶ λέγει πρὸς τὸν μοιχόν· γύμνωσόν σου τὴν σπάθην καὶ μετὰ θυμοῦ, φέρων ἐν χερσὶ τὴν μάχαιραν γυμνήν, προσποιητῶς ὕβριζε κἀμὲ καὶ τοῦ οἰκήματος ἐξέρχου, τὸν δὲ ἄνδρα μου μηδέν τι ὅλως λαλήσας. |καὶ ὁ μοιχὸς αὐτίκα τοῦτο ἐποίησε καὶ ξιφηφόρος τῆς οἰκίας ἐξερχόμενος τὴν γυναῖκα p. 31 καθύβριζεν. ὁ δὲ κύριος τοῦ οἴκου εἰσελθὼν ἔνθα καὶ ἡ γυνὴ διέτριβε, ἐπηρώτα αὐτὴν λέγων· τίς ἡ τοῦ ξένου τούτου ἔλευσις πρὸς τὴν οἰκίαν ἡμῶν, ὦ γύναι, καὶ αἱ ὕβρεις πρὸς σὲ αἱ μετὰ ξίφους; ὅτε καὶ ἡ γυνή, τούτου τοῦ ξένου ὁ δοῦλος, ἔφη, φεύγων κατέφυγεν εἰς τὴν οἰκίαν ἡμῶν σύντρομος, φονευθεὶς δειλιῶν· καὶ παρ' ἐμοῦ τοῦ δούλου κρυφθέντος ὁ κύριος τούτου χειρὶ βιαίᾳ ἐπειρᾶτο τοῦτον λαβεῖν καὶ φονεῦσαι· ἐμοῦ δὲ τοῦτον ἐμποδιζούσης ἐνδότερον εἰσελθεῖν ἵστατο, ὡς οἶδας, μετὰ θράσους καθυβρί-

---

2 λοιπὸν om. B 3 αὐτίκα] αὐτῇ B 4 συφθειρομένων B 5 ἀθρόων B 6 αὐτῶ B 7 θεάσατο A 9 πρόσποιητὸς B ib. καθυβρίζων με] καθυβρήζων (μ suprascr.) A. praestiterit καθύβριζέ με sive mavis καθύβρισόν με 10 γε] δὲ AB ib. post ὁ δὲ B addit αὐτῇ 10 sq. ἐπίλατο pr., corr. ἐπτίλατο A, διεστείλατο B 12 ἐτύγχανε B 13 τίς ὁ τρόπος om. B 14 τοῦ om. A 15 δούλος A, οἰκέτης B ib. αὐτῶν· σύντρομος ἐνταύθα κατέφυγεν A, αὐτῶ κατέφυγε σύντρομος B 16 ὁ om. A ib. πειρᾶσαι B 17 ἀποτυχιζούσης B, ἀπὸτυχειζοῦσης A 18 λέγει om. D 22 θεάσαιτο Ebh. 25 λαλήσῃς Ebh. 30 «forsan φονευθῆναι vel μὴ φονευθείη» Boiss. idem etiam «barbare φονευθῆν scribendum» coniecit ib. τὸν δοῦλον τοῦ δούλου D 32 ὡς εἶδες?

ἵσταται μετὰ θράσους, ὡς ὁρᾷς, καθυβρίζων με. ὁ δὲ ἀνὴρ πρὸς αὐτήν· ποῦ ἐστιν ὁ οἰκέτης; ἡ δὲ, ἐν τῷ ἐνδοτέρῳ οἰκίσκῳ τυγχάνει, φησίν. ἐξῆλθεν οὖν ὁ ἀνὴρ θεάσασθαι εἰ ὁ τοῦ δούλου δεσπότης ὑπανεχώρησεν καὶ τοὺς ὀφθαλμοὺς τῇδε κἀκεῖσε περιστρέφων οὐχ ἑώρακεν αὐτόν. στραφεὶς οὖν καλεῖ τὸν δοῦλον καὶ φησὶν αὐτῷ· ἄπιθι λοιπὸν ἐν εἰρήνῃ· ὁ γὰρ κύριός σου τῶν ἐνταῦθα μακρὰν γέγονεν. τότε λέγει πρὸς τὴν ἑαυτοῦ σύζυγον· μεγίστην, οἶμαι, ὦ γύναι, τῷδε τῷ δούλῳ τὴν εὐποιίαν εἰργάσω. ἰδοὺ τοιγαροῦν, ὦ βασιλεῦ, ἀποδέδεικται τῷ κράτει σου ὡς οὐ χρὴ τὸ παράπαν τοῖς τῶν γυναικῶν ἀπατηλοῖς ὑποσύρεσθαι λόγοις. τούτων πάλιν ὁ βασιλεὺς παρὰ τοῦ δευτέρου συμβούλου ἡδέως ἀκροασάμενος μηδαμῶς αὖθις κελεύει τὸν υἱὸν αὐτοῦ ἀναιρεθῆναι.

A f. 265 Ἡνίκα δὲ τοῦ προστάγματος ἡ πονηρὰ τοῦ βα|σιλέως ᾔσθετο παλλακὴ, παρέστη εὐθὺς αὐτῷ κατὰ τὴν τρίτην ἡμέραν, καὶ φησὶν πρὸς αὐτόν· οἱ σοφώτατοί σου δῆθεν σύμβουλοι, ὦ βασιλεῦ, σκαιότατοι μᾶλλον καὶ κακότροποι πεφύκασι καὶ πολλήν σοι τὴν βλάβην ἐμποιῆσαι πειρῶνται. ὁ δὲ βασιλεὺς ἔφη τῇ γυναικί· καὶ πῶς, ὦ γύναι; ἡ δὲ, ἦν γάρ τις, φησίν, βασιλεὺς, ὃς ἐκέκτητο υἱόν, καὶ τοῖς κυνηγεσίοις ἐκεῖνος σφόδρα ἐτέρπετο. καὶ ἐν μιᾷ φησὶν ὁ υἱὸς τῷ τοῦ βασιλέως καὶ πατρὸς αὐτοῦ σοφωτάτῳ συμβούλῳ· αἴτησαι τὸν πατέρα μου καὶ

RETRACTATIO.

ζων με, ἀνῃρημένος τὴν σπάθην. ὁ δὲ ἀνὴρ λέγει· ποῦ ἐστὶν ὁ δοῦλος; ἡ δὲ γυνὴ, ἔσω, ἔφη, τοῦ ἐνδοτέρου οἰκήματος. τοῦ δὲ οἰκοδεσπότου ἐξελθόντος θεάσασθαι εἰ ὁ δεσπότης τοῦ δούλου ὑπανεχώρησε, καὶ ἄνω καὶ κάτω συστρέψας οὐκ εἶδεν αὐτόν. τότε p. 32 στραφεὶς βλέπει τὸν δοῦλον καὶ | λέγει αὐτῷ· ἄπελθε τὸ λοιπὸν ἐν εἰρήνῃ· ὁ γὰρ κύριός σου μακρὰν ἀπὸ τῶν ὧδε ἐγένετο. καὶ στραφεὶς πρὸς τὴν γυναῖκα λέγει· μεγάλην εὐεργεσίαν ὑπολαμβάνω τῷ δούλῳ ποιῆσαί σε. καὶ ἰδοὺ, ὦ βασιλεῦ, ἀπεδείχθη τῷ κράτει σου ὡς οὐ πρέπει καθόλου τοῖς τῶν γυναικῶν ἀπατηλοῖς λόγοις ἀκολουθεῖν. τούτων πάλιν ὁ βασιλεὺς παρὰ τοῦ δευτέρου ἀκούσας λόγων κελεύει τὸν υἱὸν αὐτοῦ μὴ ἀναιρεθῆναι.

Ἡ δὲ πονηρὰ γυνὴ πάλιν τὴν ἀναβολὴν μαθοῦσα τῆς ἀναιρέσεως παρέστη αὖθις τῷ βασιλεῖ κατὰ τὴν τρίτην ἡμέραν, καὶ λέγει αὐτῷ· ὦ βασιλεῦ, οἱ σοφώτατοί σου σύμβουλοι μᾶλλον εἰσὶ μωροὶ καὶ κακότροποι καὶ πολλήν σοι τὴν βλάβην ποιῆσαι δοκιμάζουσιν. καὶ ὁ βασιλεὺς ἔφη πρὸς αὐτήν· πῶς, ὦ γύναι; ἡ δὲ ἔφη· ἦν γάρ τις, ὡς λέγεται, βασιλεὺς, ὃς ἔχων υἱὸν κατὰ πολὺ τὰ κυνηγέσια ὀρεγόμενον. καὶ μιᾷ τῶν p. 33 ἡμερῶν ἔφη ὁ υἱὸς τὸν τοῦ πατρὸς | αὐτοῦ σοφώτατον σύμβουλον· ζήτησον τὸν βασιλέα τὸν πατέρα μου, ἵνα μοι ὁρίσῃ ἐξελθεῖν εἰς κυνήγιον. ὁ δὲ σύμβουλος ζητεῖ τοῦτο

---

1 ante πρὸς B inserit λέγει 2 ἱκέτης A ib. τυγχάνουσι B pr. ib. φησί B 3 ὑπανεχώρησε B 4 τῇδὲ A 6 γέγονε B 11 τοῦ πράγματος B ib. παλακῆ A, παλακὴ B 12 m rec. in marg.: ἡ γηνὴ A ib. φησὶ B 13 σκαιότατοι] σκαιότροποι B 15 m. rec. in marg.: πε(ρὶ) τοῦ υἱοῦ τοῦ βασιλ(έως) ὃς ἐξῆλθεν εἰς τ(ὸ) κυνήγ(ειν) ib. φησὶ B 16 καὶ om. B ib. ἐπετέρπετο B ib. ante τῷ τοῦ B inserit αὐτοῦ 17 σοφοτάτῳ B, σοφωτάτου A ib. αἴτησε B 24 ὡς] καὶ F 25 post ἀκούσας Ebh. inseruit φιλοσόφου τῶν, «nam sive hoc sive συμβούλων (immo συμβούλου) utique excidit» 30 lemma codicum: διήγησις γυναίου 31 ὃς deleri volunt Boiss. et Ebh., praestat ὃς εἶχεν 33 μου om. D

βασιλέα ἵνα μοι ἐπιτρέψῃ πρὸς θήραν ἐξιέναι. ὁ δὲ βασιλέως σύμβουλος αἰτεῖται τοῦτο παρὰ τοῦ βασιλέως. ὁ δὲ βασιλεὺς ἐκεῖνος ἔφησε τῷ συμβούλῳ· εἰ ἄρα συνεξέλθῃς αὐτῷ καὶ σύ, γενέσθω τὸ αἴτημα. ἐξέρχεται οὖν μετὰ τοῦ υἱοῦ τοῦ βασιλέως ὁ τοῦ πατρὸς σύμβουλος, καὶ ἀμφότεροι ἐπὶ τὴν θήραν πορευόμενοι ὁρῶσί τινα ὄναγρον. εἶτα φησὶν ὁ σύμβουλος τῷ παιδί· | καταδίωξον ὀπίσω τούτου B f. 70 τοῦ ὀνάγρου καὶ μόνος σὺ τοῦτον θήρευσον. ὁ δὲ εὐθὺς κατεδίωκε τὸν ὄναγρον. ἐσύστερον δὲ μονωθεὶς τῶν ἄλλων συνθηρευτῶν καὶ μὴ εἰδὼς ὅποι τὸν ἑαυτοῦ ποιεῖται δρόμον εὑρίσκει ὁδόν τινα καὶ ταύτην πορεύεται. εἶτα καί τινι νεάνιδι θρηνούσῃ κατ' ἐκείνην τὴν ὁδὸν ἐντυγχάνει, καὶ φησὶν αὐτῇ· τί, ὦ νεᾶνις, ὀδύρῃ; καὶ πόθεν ἄρα τυγχάνεις; ἡ δὲ λέγει πρὸς αὐτόν· ἐγὼ βασιλέως εἰμὶ θυγάτηρ, καί τινι ἐλέφαντι ἐπωχούμην καὶ τούτου ἐξολισθήσασα οὐκ ᾐσθόμην τὸ σύνολον, καὶ ἀναβλέψασα θεάσασθαί τινα τῶν ἐμῶν οἰκετῶν οὐδαμῶς τινα τούτων ἑώρακα. μετὰ δὲ ταῦτα πλανηθεῖσα οὐκ ᾔδειν ὅποι πορεύομαι, ἀλλ' ἔτρεχον σφοδρῶς, ἄχρις ὅτου τανῦν ἰλιγγίασα. ταῦτα οὖν, φησίν, τῆς κόρης εἰπούσης ὁ τοῦ βασιλέως ἐκείνου υἱὸς κατοικτείρας αὐτὴν εὐθὺς ταύτην ἐπεβίβασεν ὄπισθεν. ἡ δὲ κόρη τοῖς τοιούτοις λόγοις ἤδη αὐτὸν ἀπατήσασα παρεσκεύασεν πλανηθέντα διά τινος καταλύματος διελθεῖν, καὶ λέγει τῷ νεανίσκῳ· χρεία μοί ἐστι τοῦ εἰσελθεῖν ἐν τούτῳ τῷ καταλύματι. τοῦ δέ καταγαγόντος αὐτὴν τοῦ ἵππου

RETRACTATIO.

παρὰ τοῦ βασιλέως. καὶ ὁ βασιλεὺς ἀπεκρίνατο· ἐὰν καὶ σὺ μετὰ τοῦ υἱοῦ μου ἐξέλθῃς, γενέσθω τὸ αἴτημά σου. ἐξέρχεται οὖν μετὰ τοῦ υἱοῦ τοῦ βασιλέως ὁ τοῦ πατρὸς σύμβουλος, καὶ ἀμφότεροι ἐπορεύοντο καὶ ὁρῶσί τινα ὄναγρον ἐν τῷ ὄρει, καὶ λέγει ὁ σύμβουλος τῷ παιδί· καταδίωξον ὀπίσω τοῦ ὀνάγρου καὶ σὺ μόνος αὐτὸν κυνήγησον. ὁ δὲ παῖς ἐδίωκε τὸν ὄναγρον. καὶ οὕτος δρομαίως διώκων μόνος ἐγένετο τῶν συντρόφων καὶ μὴ εἰδὼς τὴν ὁδὸν ἐν ᾗ πορεύεται, μίαν ὁδὸν εὑρών, ταύτην ἐβάδιζεν. εἶτα εὑρίσκει κατὰ τὴν ὁδὸν γυναῖκα θρηνοῦσαν νεάνιδα, καὶ φησὶ πρὸς αὐτήν· ὦ γύναι, τί κλαίεις; πόθεν εἶ σύ; ἡ δὲ νεᾶνις λέγει αὐτῷ· βασιλέως εἰμὶ θυγάτηρ, καὶ ἐπὶ ἐλέφαντος ἐκαθήμην καὶ τούτου ἐξολισθήσασα ἔπεσον, μηδαμῶς ἐννοήσασα πῶς ἔπεσον. καὶ μόλις τοῦ πτώμα|τος ἀνένευσα, καὶ ἀναβλέψασα ἰδεῖν τινὰ τῶν ἐμῶν οἰκετῶν οὐδένα p. 34 ἑώρακα. ἔκτοτε πλανηθεῖσα οὐκ οἶδα ποῦ καὶ πόθεν πορεύομαι, καὶ ἔτρεχόν γε σφοδρῶς, ἕως οὗ τὰ νῦν ἠγανάκτησα. ταῦτα τῆς κόρης εἰπούσης ὁ τοῦ βασιλέως υἱὸς ἐλεήσας αὐτὴν ὄπισθεν τοῦ ἑαυτοῦ ἀνεβίβασεν ἵππου. ἡ δὲ κόρη τούτοις τοῖς λόγοις αὐτὸν ἀπατήσασα παρεσκεύασε διαφθεῖραι αὐτὴν ἐπί τινι ἀοίκῳ καταλύματι, καὶ λέγει τῷ νεανίσκῳ· χρεία μοι ἐστὶν ἐν τῷδε εἰσελθεῖν. καὶ καταγαγόντος αὐτὴν τοῦ ἵππου καὶ

1 ἐπιτρέψει B ib. βασιλέως om. B 3 καὶ συγγενέσθω A ib. ἐξέρχεται] ἐχέρται A 6 τοῦτο θήρευ (σ supra) A 9 sq. νεάνις AB constanter ut videtur 11 ἐποχοῦμην A 12 τῶν ἐμῶν — τινα om. A 14 ὅτου] σότου A ib. ἴλιγγιάσα A ib. φησὶ B 15 κατοικτήρας A, κατοικτειρήσας B ib. ὄπιθεν A 17 κατὰλύμματος A, καταλύμματος B. qua in scriptura hic et infra suspicari possis καταλείμματος latere («Ruine» Syrus Bäthgeni), quoniam vocabulo κατάλυμα diversa significatio propria erat ib. μοι ἐστὶ A, μοι ἐστὶν B 18 κατὰλύμματι A, καλύμματι B 23 οὕτως Ebh. 27 ἐννοῆσα E, ἐννόησα F 28 ἀνάβλεψα D 32 αὐτὴν] αὐτὸν Ebh.

κἀκείνης εἰσελθούσης ἐκεῖσε ἀκούει ὁ τοῦ βασιλέως υἱὸς θορύβου τινὸς καὶ ἀλαλαγμοῦ ἐν τῷ καταλύματι γινομένου. καὶ ἀπελθὼν προκύψαι καὶ κατιδεῖν τί τὰ A f. 266 ἀκουόμενα, ὁρᾷ τὴν κόρην ἐκείνην ὡς | λάμια μᾶλλον ἐτύγχανεν καὶ ὅτι ἑτέραις δυσὶ λαμίαις προσομιλοῦσα ἔλεγεν αὐταῖς ὡς· ἰδοὺ ἤγαγον ὑμῖν νεανίσκον τινὰ ἔφιππον. αἱ δὲ πρὸς ἐκείνην ἀντέλεγον· ἀπάγαγε λοιπὸν τοῦτον ἐπὶ τὸ ἕτερον δεῖνα κατάλυμα. ὁ νέος τοίνυν τούτων οὕτω λεγομένων ἀκούων ἐπαναστρέφει εὐθὺς ἐπ' αὐτὸν δὴ τὸν τόπον, ἔνθα τὴν δῆθεν κόρην τοῦ ἵππου κατήγαγεν. ἐκείνη δὲ πρὸς αὐτὸν τὸ τάχος ἐπανῆκε καὶ ἐπέβη τούτου ὄπιθεν ὡς τὸ πρότερον. ὁ δὲ αὐτὴν σφόδρα ἐδεδίει καὶ ὑπέτρεμε. καὶ λέγει αὐτῷ ἐκείνη· τί οὕτως, ὦ νεανίσκε, ὑποτρέμεις καὶ δέδοικας; ὁ δὲ τοῦ βασιλέως υἱὸς πρὸς αὐτὴν ἀντέφησεν· τινὸς τῶν ὁμηλίκων ἐπιμνησθεὶς τανῦν ἐκεῖνον πτοούμενος ὑποτρέμω. ἡ δέ, ἀλλὰ σύ, φησίν, ἵνα τί μὴ δωρεαῖς τὸ ἐκείνου θράσος κατακοιμίζεις; βασιλέως γὰρ υἱὸς εἶναι λέγεις καὶ χρυσίου δαψιλοῦς εὐπορεῖν. ὁ δὲ πρὸς αὐτὴν λέγει· ἀλλ' οὐ διὰ δώρων ἐκεῖνός μοι σπένδεται. αὖθις δὲ ἡ λάμια πρὸς αὐτόν, δεήθητι τοῦ πατρός σου κατ' αὐτοῦ, ἔφη, κἀκεῖνός σε τῆς αὐτοῦ κακίας λυτρώσεται. ὁ δὲ νέος, ἀλλ' οὐδ' ὁ πατήρ μου περιγενέσθαι αὐτοῦ δεδύνηται. ἡ δέ, λοιπὸν τοῦ θεοῦ, φησί, κατ' αὐτοῦ δεήθητι καὶ ἀπαλλαγήσῃ τῆς τούτου σκαιότη-

RETRACTATIO.

εἰσελθούσης ἐκείνης ἀκούει ὁ παῖς θόρυβον ἐντὸς καὶ ἀλαλαγμόν. καὶ ἀπελθὼν παρέκυψε τοῦ ἰδεῖν τίς ὁ θόρυβος, καὶ ὁρᾷ τὴν κόρην ἐκείνην ὡς λάμιαν προσομιλοῦσαν ταῖς ἑτέραις λαμίαις καὶ λέγουσαν· ἰδοὺ ἤγαγον ὑμῖν νεανίσκον ἔφιππον. αἱ δὲ λάμιαι αὐτῇ ἔλεγον· ἀπάγαγε τοῦτον εἰς τὸ ἄλλο κατάλυμα. καὶ ὁ νέος τούτων οὕτω λεγοp. 35 μένων στραφεὶς ἅμα ἐπὶ τὸν τόπον, ἔνθα τὴν κόρην ἐκ τοῦ ἵπ|που κατήγαγεν, ὥρμησεν ἀπελθεῖν. καὶ ἐκείνη ταχέως πρὸς αὐτὸν ἦλθε καὶ ἐπέβη τοῦ ἵππου ὡς τὸ πρότερον. ὁ δὲ νέος σφόδρα ἐδεδίει καὶ ἔτρεμε ταύτην. καὶ λέγει αὐτῷ ἐκείνη· τί οὕτως, ὦ νεανία, τρέμεις καὶ δέδοικας; ὁ δὲ τοῦ βασιλέως υἱὸς πρὸς αὐτὴν ἀντέφησεν· ἐνθυμηθείς τινος τῶν ὁμιλήκων καὶ ἐκεῖνον φοβούμενος ὑποτρέμω. ἡ δὲ πρὸς αὐτόν· διὰ τί σὺ μὴ δωρεαῖς καὶ χαρίσμασι τὸν ἐκείνου θυμὸν καταπραΰνεις; λέγεις γὰρ εἶναί σε βασιλέως υἱὸν καὶ πολλοῦ χρυσίου εὐπορεῖς. καὶ ὁ νέος πάλιν φησίν· ἀλλ' οὐ διὰ χαρισμάτων ἐκεῖνος ἐμοὶ φιλίαν ποιεῖ. καὶ ἡ λάμια πρὸς αὐτόν· παρακάλεσον τὸν πατέρα σου, καὶ αὐτός σε τῆς κακίας ἐλευθερώσει. καὶ ὁ νέος· οὐδὲ ὁ πατήρ μου, νομίζω, δύναται· ὅμως καλῶς εἶπας καὶ πρεπόντως ἔφησας. καὶ εὐθὺς εἰς οὐρανὸν ὁ νέος τοὺς

---

2 κατὰλύμματι A, καταλύμματι B. post κατὰλύμματι in A iterantur vv. τοῦ δὲ κατὰγαγόντος ib. ἰδεῖν τι B 3 ἀκουῶμενα A, ἀκουσόμενα B ib. ἔτυγχανεν A, ἐτύγχανε B ib. ἕτεραις A 4 δυσὶ] ἐστὶ B («zwei Genossinnen» Syrus Bäthgeni) ib. λαμιαῖς A ib. ἡμῖν B («euch» Syrus Bäthgeni) 5 ἀπάγε B 6 κατάλυμμα B 7 τῦν δῆθεν κόρην τοῦ ἵππου A, δῆθεν τὴν κόρην B 9 ὕπετρεμε A, ἔτρεμε B 10 νεανία B 10 sq. ἀντέφησε B 11 ἐκείνων B 12 σύ φυσιν· ἴνά τι A ib. ἐκείνων et κατακομίζεις B 13 χρυσί B 14 σπεύδεται A ib. ἔφη post πρὸς αὐτὸν addit, v. seq. post κατ' αὐτοῦ omittit B 16 ἡ δὲ om. B 16 sqq. «So rufe Gott gegen ihn an, wie du zum König gesprochen hast, der wird dich von seiner Hand erretten» Syrus Bäthgeni 17 ἀλλαγήσῃ A pr. 17 sq. σκαί|οτητος A 21 ἀπαγάγετε E ib. ἄλλον F 21 sq. ὁ νέος τούτων οὕτω λεγομένων νέος στραφεὶς D, τούτων οὕτω λεγομένων ὁ νέος στραφεὶς E, ὁ νέος στραφεὶς F 22 τύπον D 26 ὁμηλίκων corr. Boiss. 28 ἀπορεῖς D, εὐπορεῖν ci. Ebh. 30 οὐδὲν D 31 πρεπόντως, ἔφησε καὶ?

τος. ὁ δὲ τοῦ βασιλέως υἱός, καλῶς εἶπας καὶ προσηκόντως, ἀπεκρίνατο καὶ εὐθὺς εἰς οὐρανὸν τὰς χεῖρας ἅμα καὶ τοὺς ὀφθαλμοὺς ἀνατείνας, δέσποτα θεέ, ἐδυσώπει λέγων, δός μοι τῷ οἰκέτῃ σου κατισχῦσαι τούτου τοῦ πο|νηροῦ δαιμονίου [B f.71] καὶ τῶν αὐτοῦ με μηχανημάτων ἐξάρπασον. καὶ ταῦτα αὐτοῦ εὐξαμένου ῥίπτει ἐκείνη ἑαυτὴν κατὰ τοῦ ἐδάφους καὶ τῷ χοΐ ἐνεκυλίετο, καὶ πειρωμένη αὖθις ἀναστῆναι οὐδόλως ἠδύνατο. ὁ δὲ νέος παραχρῆμα χαλινὰ πάντα χαλάσας ἀκρατῶς ἐκεῖθεν τὸν ἵππον ἐξήλαυνε καὶ τὸ κάκιστον διαδρὰς δαιμόνιον μέχρι τῆς πατρῴας διασῴζεται οἰκίας, ἔτι σύντρομος ἀπὸ τῆς λαμίας τυγχάνων. ἐκ ταύτης τοίνυν τῆς προτεθείσης σοι παρ' ἐμοῦ, ὦ βασιλεῦ, διηγήσεως γνῶθι ἀκριβῶς τὸ σκαιόν τε καὶ ἀπατηλὸν τῶν συμβούλων σου καὶ ὅτι σε αὐτὸν φενακίζοντες λόγοις τὸ συμφέρον τῷ κράτει σου οὐδόλως ἐθέλουσιν. ὅθεν κἀγὼ διὰ τὸ τὴν ἐπ' ἐμοὶ καὶ σοὶ τοῦ υἱοῦ σου ἀτοπίαν ἐᾶσαί σε ἀνεκδίκητον γνωρίζω τῇ σκηπτουχίᾳ σου ὡς ἐξ ἅπαντος τρόπου ἐμαυτὴν διαχειρίσομαι. | τούτων πάλιν [A f. 267] ἀκούσας ὁ βασιλεὺς Κῦρος παρὰ τῆς γυναικὸς ἀναιρεθῆναι τὸν υἱὸν αὐτοῦ κελεύει.

RETRACTATIO.

ὀφθαλμοὺς ἀνατείνας καὶ τὰς χεῖρας, δέσποτα Χριστέ, παρεκάλει λέγων, δός μοι τῷ δούλῳ σου κατισχύσαι | τοῦ δαιμονίου τούτου καὶ τῶν αὐτοῦ με μηχανημάτων [p. 36] ἐξάρπασον. καὶ ταῦτα τούτου εὐξαμένου ἐκείνη ἑαυτὴν κάτω ῥίπτει ἐπὶ τοῦ ἐδάφους καὶ τῷ χοΐ ἐνεκυλίετο, καὶ δοκιμάζουσα ἀναστῆναι οὐδόλως ἴσχυεν. ὁ δὲ νέος ἅπαντα χαλινὸν χαλάσας ἀκρατῶς ἐκεῖθεν τὸν ἵππον ἤλαυνε, καὶ τὸ κάκιστον δαιμόνιον διαδρὰς μέχρι τῆς πατρῴας οἰκίας διασῴζεται, ἔτι σύντρομος τυγχάνων ἀπὸ τῆς λαμίας. ἐκ ταύτης τῆς προτεθείσης σοι παρ' ἐμοῦ διηγήσεως γνῶθι ἀκριβῶς οἷόν ἐστι τὸ τῶν συμβούλων ἀπατηλὸν καὶ ψευδὲς ἔργον, καὶ αὐτὸν σὲ φενακίζοντες καὶ ἀπατῶντες λέγουσι ταῦτα τῷ κράτει σου. ὅθεν κἀγὼ διὰ τὴν εἰς ἐμὲ γενομένην ἀτοπίαν παρὰ τοῦ υἱοῦ σου γνωρίζω τῇ σκηπτουχίᾳ σου· οἱ σύμβουλοι ψεύδονται, κἂν μεγάλως φυλάττειν τὸν υἱὸν προσποιῶνται. τούτων πάλιν τῶν λόγων τῆς μαινάδος ἀκούσας ὁ βασιλεὺς κελεύει πάλιν τὸν υἱὸν σφαγῆναι.

|Κατ' αὐτὴν οὖν τὴν ἡμέραν καὶ ὁ τρίτος σύμβουλος τῷ βασιλεῖ παραστὰς [p. 37] προσεκύνησε κατὰ τὸ ἔθος, αἰτῶν τουτὶ τῷ παραδείγματι προσέχειν καὶ ἀκούειν προσ-

---

2 ἀνάτεινας A 5 τοῦ] τῆν τοῦ A ib. πειρωμένης B 6 ἠδύνα το A, ἴσχυε B ib. παραχρῆμα om. B ib. χαληνᾶ πάντα A, χαλινὸν ἅπαντα B 9 ἐκ] κ in B periit una cum margine abscissum. quae causa etiam alia haud pauca in eodem folio abstulit, a nobis infra uncis inclusa ib. τοίνυν om. B ib. προτεθήσιν A ib. [ὦ βα]σιλεῦ B 10 ἀκριβῶ[ς τὸ σκα]ιόν B ib. συμβούλω[ν σου καὶ ὅτι] B 11 φαινακίζωντες λ[όγοις τὸ συμφέ]ρον τοῦ κράτους σου οὐδ' ὅ[λως ἐθέλουσιν] B 12 ἐ[π' ἐμοὶ καὶ σοὶ τοῦ] B ib. ἐ[ᾶσαί σε ἀνεκδίκητον] B 13 τὴν σκηπτ[ουχίαν σου ὡς ἐξ ἅπαν]τως τρόπον B ib. ἐξαπάντος A ib. ἐμαυ[τὴν διαχειρίσομαι. τού]των B 14 [ὁ βασιλεὺς Κῦρος παρὰ τῆς] γυναικὸς ἀναι[ρεθῆναι τὸν υἱὸν αὐτοῦ κελεύει.] B 20 χαληνὸν F 22 προστεθείσης F 23 ἀψευδὲς EF ib. καὶ ὅτι αὐτὸν? 26 τὸν σὸν υἱὸν Ebh. ib. μονάδος D 28 lemma: τρίτος σύμβουλος ib. τὴν τρίτην ἡμέραν? Ebh. 29 προσεκύνησα F ib. τοῦτον Ebh. 29 sq. ἀκούειν προσηνῶς, «nisi vv. καὶ ἀκ. πρ. omnino sunt delenda» Ebh.

Κατ' αὐτὴν δὲ τὴν τρίτην ἡμέραν παραστὰς τῷ βασιλεῖ ὁ τρίτος τῶν αὐτοῦ σοφωτάτων συμβούλων προσεκύνησε συνήθως ἐπὶ τῆς γῆς, καὶ φησὶν πρὸς αὐτόν· βασιλεῦ, ζῆθι εἰς τὸν αἰῶνα. γινώσκειν ἀξιῶ σοῦ τὸ κράτος ὡς συμβαίνειν (B f. 71v.) τι τῶν ἐλαχίστων πράξεων ἐν τῷ βίῳ εἴω|θεν, ὅπερ οἱ ἄνθρωποι μηδαμινὸν τυγχάνον ἐπὶ μέγα πολλάκις αἴρουσι καὶ ὡς ἐξαίσιον διατρανοῦσιν. καὶ ἄκουσον διηγήσεως τῷ λόγῳ μου συμμαρτυρούσης. δύο γάρ τινα περιφανῆ χωρία ὑπῆρχον, ἃ καὶ διὰ μόνον μελίσσιον κηρίον ἄλληλα διώλεσαν. ὁ δὲ βασιλεύς· πῶς; καὶ τίνι τρόπῳ; καὶ ὁ φιλόσοφος πρὸς αὐτόν· ἦν γάρ τις θηρευτὴς ἀνήρ, καὶ ἐγένετο αὐτὸν ἔν τινι ὄρει μελίσσιον ἐφευρεῖν βοράδιον, ὅπερ ἐκεῖθεν ὁ ἀνὴρ ἄρας πρὸς διάπρασιν διεκόμιζεν. ἔτυχε δὲ ἕνα τῶν αὐτοῦ θηρατικῶν κυνῶν συμπορεύεσθαι αὐτῷ. μετὰ δέ γε τὸ διακομισθῆναι παρ' αὐτοῦ τὸ μελίσσιον ἐκεῖνο βοράδιον ἐντυγχάνει τινὶ τῶν ἐν τοῖς ἐδωδίμοις εἰωθότων ἐμπορεύεσθαι καὶ δείκνυσιν αὐτῷ τὸ τοιοῦ-

RETRACTATIO.

εχῶς. ὅτε καὶ φησίν· ὦ βασιλεῦ, ζῆθι εἰς τὸν αἰῶνα. εν αἰτῶ, προσέχειν τοῖς ἐμοῖς λόγοις καὶ τούτων μὴ καταφρονεῖν ὡς ἐλαχίστων· οὕτω γὰρ ἐμάθομεν πολλάκις παρ' ἀνθρώποις γίνεσθαι· οἱ γὰρ ἄνθρωποι ὅπερ οὐδαμινὸν τυγχάνει πολλάκις ἐπὶ μέγα αἴρουσι καὶ ὑψοῦσι καὶ ὡς ἐξαίσιον διατρανοῦσιν. ἄκουσον οὖν διηγήσεως συμμαρτυρούσης τῷ λόγῳ μου. δύο χωρία ὑπῆρχον περιφανῆ, ἅτινα διὰ μόνου μελισίου κηρίου ἀλλήλων διώλοντο. τοῦ δὲ βασιλέως, πῶς; καὶ τίνι, φήσαντος, τρόπῳ; ὁ φιλόσοφος πρὸς αὐτόν· ἦν τις ἀνὴρ κυνηγός, καὶ ἐγένετο αὐτὸν εὑρεῖν μελίσιον ἐφευρεῖν μετὰ κοφίνου. ὅπερ λα(p. 38)βὼν ὁ ἀνὴρ ἔφερε τοῦ πωλῆσαι αὐτό. ἔτυχε δὲ | ἕνα τῶν αὐτοῦ κυνηγετικῶν κυνῶν συμπορεύεσθαι αὐτῷ. μετὰ δὲ τὸ διακομισθῆναι παρὰ τοῦ κυνηγοῦ τὸ μελίσιον ἐκεῖνο βαράδιον ἐντυχὼν τινι τῶν ἐν τοῖς τροφίμοις κατὰ τὴν ἀγορὰν συνήθειαν ἐχόντων καθῆσθαι. καὶ ἰδὼν τοῦτο ὀρεκτικὸς ἐγένετο τοῦ ἀγοράσαι τὸ μελίσιον σὺν κηρίῳ,

---

1 in infimo fol. 71 r. haec supersunt:
κατὰ ταύτην
ραστὰς, παρα
τῶν σοφοτα
σε συνήθω
αὐτὸν. βασ
κειν ἀξιῶ
τῶν ἐλαχισ B, unde colligas παραστὰς in hoc codice bis deinceps exstitisse 4 εἰώ|θαμεν B 5 αἱροῦσι A ib. διατρανοῦσι B 6 συμαρτυρούσης B ib. χωρία περιφανῆ B 7 διῶλεσσαν A 8 sq. in marg. m. rec.: πε(ρὶ) τὸ μελί(σ)· και τον κύνα κὰι τὴν γαλ(ῆν) A 8 θηρευτὴς om. A 9 ἔν τινι ὄρει] «auf dem Berge» Syr. Bäthgeni. ex quo in hac narr. nihil amplius affero, ne totam fere exscribam ib. μελίσιον B 9 sq. διάπρα[σιν δι]εκόμιζεν B (διεκόμιζεν etiam A) 10 [κυνῶν] B 11 δέ γε] δέ (Γ) B ib. διακομισ[θῆναι παρ'] B 11 sq. [ἐντυγχάνει τι]νὶ B 12 εἰωθό[των ἐμπορεύεσθ]αι B 13 καὶ om. D ib. ἐνῶταιτῶ D, ἔν τῷ E «sic cum lacunula» (Boiss.), ἔν .. τῷ F «trium fere litterarum spatio vacuo» (Ebh.), ἓν αἰτῶ Boiss., ἔν σε αἰτῶ Ebh. 15 in F, 17 in DE lemma ἀρχὴ τῆς διηγήσεως 16 αἴρουσι F 18 μόνον F ib. μελισίου] «in hoc nomine variant hic et infra libri (DE), exhibentes μελλίσιον, μελίσιον, μελήσιον, μελλήσιον» (Boiss.) ib. ὑπ' ἀλλήλων Ebh. 19 εὑρεῖν in F «punctis infra positis deletum», eiecit Ebh. Nunc patet latuisse ἐν ὄρει τινὶ ib., item 21 et 23 μελήσιον F 19 ἐφορεῖν D, ἐφευρεῖν eiecit Boiss. 22 ἐκεῖνος EF ib. immo ἐντυ(γ)χάνει 23 ὅς καὶ ἰδὼν?

τον. αὐτίκα γοῦν ἐκεῖνος ἐντὸς αὐτοῦ τὴν χεῖρα ἐμβαλὼν ἐκβάλλει μικρόν τι τοῦ μέλιτος· εὐθὺς δέ τι ἐξ αὐτοῦ ἐπὶ τῆς γῆς ἀπεστάλαξε. καί τις μέλισσα ἐλθοῦσα ἔστη ὡς ἔθος ἐπ' ἐκείνου τοῦ μελισσίου στάγματος. ἦν δέ γε μία γαλῆ τῷ ἐμπόρῳ ἐκείνῳ, ἥτις θεασαμένη τὴν μέλισσαν ἁρπάσαι αὐτὴν ὥρμησεν. ἰδὼν δὲ τὴν γαλῆν ὁ τοῦ θηρευτοῦ κύων ἐπιδραμὼν κατέσχε ταύτην καὶ ἀπέπνιξεν· ὁ δὲ ἔμπορος εὐθὺς τὸν κύνα σφοδρῶς πλήξας ἀπέκτεινε. παραχρῆμα γοῦν ὁ θηρευτὴς τὸν ἔμπορον ῥάβδῳ ἔτυψεν. καὶ γέγονεν μεταξὺ τούτων ἰσχυρὰ διαμάχη. οἱ δέ γε κάτοικοι τῶν δύο χωρίων ἐκείνων ἀκούσαντες τὰ γενόμενα καὶ μεγάλως κατ' ἀλλήλων διαταραχθέντες, ὅτιπερ ὁ μὲν θηρευτὴς | ἐκ τοῦ ἑνὸς ὥρ- B f.72 μητο χωρίου, ὁ δὲ ἔμπορος ἐκ τοῦ ἑτέρου, ἐπαναστάντες ἀλλήλοις μαχαίρας ἔργον ἐγένοντο. ἴδε οὖν, ὦ βασιλεῦ, ἐκ μηδαμινῆς ἀφορμῆς πηλίκα δὴ τὰ δεινὰ ἀπετελέσθησαν. καὶ νῦν ἐπάκουσόν μου, παρακαλῶ, καὶ μὴ ἐκ ψιλῆς καὶ ἀπατηλῆς σκεωρίας καὶ διαβολῆς τὸν υἱόν σου ἀσυζητήτως ἀνέλῃς, ἄχρις ἂν τὸ

RETRACTATIO.

καὶ ἐντὸς τοῦ μέλιτος τὴν χεῖρα βαλὼν ἕνεκα θεωρίας καὶ γεύσεως, τὶ ἐμπεσὸν ἐκ τῆς χειρὸς τοῦ κατέχοντος, εὐθὺς μέλισσά τις ἐλθοῦσα καὶ τοῦ μελισίου σταλάγματος ἐπικαθίσασα ἤσθιε. ἦν δέ τις γυνὴ ἐκ τοῦ ἐκείνου χωρίου, οὗ ὁ ἀγοράζων τότε κἀκεῖνος ἐτύγχανεν, ἐν τῇ ἀγορᾷ· ἥτις καλῶς θεασαμένη ἔδραμεν ἐπ' αὐτὸ καὶ ἔλεγεν ἐγνωκέναι τὸ μέλι καὶ τὸ βαράδιον ἐκ τοῦ χωρίου αὐτῶν ἐστί. καὶ δραμὼν ὁ κυνηγὸς ἐκεῖνος βίᾳ κατέσχε βουλομένην ἁρπάσαι τὸ μέλι. καὶ πολλῆς φιλονεικίας γενομένης ὁ κυνηγετικὸς ἐκεῖνος κύων, ἰδὼν τὴν τοῦ κυρίου αὐτοῦ μάχην, πρός τε τὴν γυναῖκα καὶ τὸν ἀγοραστὴν ἤρξατο ὑλακτεῖν. ὅθεν ὁ κυ|νηγὸς σπασάμενος καλὴν μά- p. 39 χαιραν ἐβούλετο τὸν ἀγοραστὴν ἀνελεῖν ὡς ἐκ τοῦ χωρίου αὐτῶν λέγοντα κλέψειν αὐτό. καὶ γέγονε μεταξὺ τῶν δύο τούτων μάχη μεγίστη, τοῦ μὲν λέγοντος κεκλοφέναι, τοῦ δὲ εὑρεῖν. ἦσαν γὰρ καὶ οἱ δύο κάτοικοι τῶν δύο χωρίων ἐκείνων τῶν περιφανῶν. καὶ μεγάλως ἑκάτεροι παρακινηθέντες θυμοῦ ἐπλήσθησαν, ὡς ἐκ τούτου καὶ τοὺς ὁμοχώρους παρακινηθῆναι, ὅτι ὁ μὲν θηρευτὴς ἐκ τοῦ ἑνὸς ὑπῆρχε χωρίου, ὁ δὲ ἀγοράζων τὸ μέλι ἐκ τοῦ ἑτέρου. ἐπαναστάντες δὲ ἀλλήλοις μαχαίρας ἔργον ἐγένοντο. θέασαι γοῦν, ὦ βασιλεῦ, ἐκ ποταπῆς ἀφορμῆς ἡλίκα δεινὰ ἐτελέσθησαν. καὶ νῦν ἐπάκουσόν μου, παρακαλῶ, καὶ μὴ ἀπὸ ψιλῆς καὶ ἀπατηλῆς συσκευῆς τὸν σὸν

---

1 [αὐτίκα γοῦν ἐκεῖν]ος B ib. βαλὼν B 1 sq. [ἐκβάλλει μικρόν τι τοῦ] B 2 [ἐπὶ τῆς γῆς ἀπεστάλα]ξε B 3 [ἔστη ὡς ἔθος ἐπ' ἐκείνου τοῦ] B ib. σταλάγματος B 3 sq. [δέ γε μία γαλῆ τῶ ἐμπόρω ἐκ]είνω B 4 [τὴν μέλισσαν ἁρπάσαι αὐτὴν] B 5 γαλίνην A ib. [γαλῆν ὁ τοῦ θηρευτοῦ κύων ἐπι]δραμὼν B 5 sq. ταύ[την καὶ ἀπέπνιξεν· ὁ δὲ ἔμπορο]ς 6 σφοδρὸς A ib. σφο[δρῶς πλήξας ἀπέκτεινε. παρα]χρῆμα B 7 θηρευ[τὴς τὸν ἔμπορον ῥάβδω ἔτυψεν] B 7 sq. [τούτων ἰσχυρὰ διαμάχη. οἱ δέ γ]ε B 8 [χωρίων ἐκείνων ἀκούσαντες τὰ γενό]μενα B 9 [κατ' ἀλλήλων διαταραχθέντες, ὅ]τιπερ B ib. διάταραχθέντα A 9 sq. ὅρμητο B 11 γοῦν B ib. μημηνῆς B ib. πιλίκα δε B, τηλίκα δὶ B 13 σκέὧρήας A ib. υἱόν σου] ὕισου A 14 ἐκπεσὸν Ebh. 16 ἐπικαθήσασα F ib. τοῦ αὐτοῦ ἐκείνου Ebh. 18 ῥάδιον D ib. post βαράδιον Boiss. inserebat ὅτι, Ebh. praetulit ὡς 21 καλὴν] καὶ τὴν Ebh. 22 de κλέψειν aoristo cf. Hatzidakis Einleitung p. 190 sq. 24 sqq. huius loci perversitates videntur inde ortae esse quod metaphrasta οἱ δύο κάτοικοι legerat pro eo quod est οἱ δέ γε κάτοικοι

A f. 268 ἀληθὲς περὶ αὐτοῦ | σοι βεβαιωθείη. καὶ ἄλλην δέ σοι διήγησιν ἀκουτισθεῖσάν μοι παρατίθημι. /

Ἀνὴρ γάρ τις τὴν ἑαυτοῦ σύζυγον ἐπὶ τὴν ἀγορὰν ἔστειλε τοῦ δὴ ἑνὸς ἀργύρου ἐλειόγενες ὠνήσασθαι, ὅπερ σύνηθες καλεῖσθαι ὀρύζιον. ἡ δὲ πορευθεῖσα ἐφίσταταί τινι τῶν κατὰ τὴν ἀγορὰν ἐμπόρων καὶ δοῦσα αὐτῷ τὸν ἄργυρον ἐξωνεῖται τὸ ὀρύζιον. ἐκεῖνος δὲ ἔφη πρὸς αὐτήν· οὐδαμῶς, ὦ γύναι, τουτὶ τὸ ὀρύζιον ἡδύσματος δίχα τοῦ καλουμένου σάχαρος ἐσθίεσθαι εἴωθε· τί σοι ὄφελος λοιπὸν τοῦτο μόνον ὠνησαμένῃ; ἡ δὲ πρὸς τὸν ἔμπορον ἔφη· οὐκ ἔστι παρ' ἡμῖν τὸ τοιοῦτον ἥδυσμα. ὁ δὲ πρὸς αὐτὴν, ἀλλ' εἴπερ, φησὶν, εἰς τὸ ἐνδότερον συνεισέλθῃς μοι ἐργαστήριον, καὶ ἐξ ἐκείνου παράσχω σοι. ἡ δὲ ἀντέφησεν· δός μοι πρότερον καὶ εἰθούτως συνεισελεύσομαί σοι· ἐπίσταμαι γὰρ κἀγὼ τὴν τῶν ἀνδρῶν πανουργίαν. ὁ δὲ εὐθὺς σταθμήσας δέδωκεν αὐτῇ ἐκ τοῦ σάχαρος. ἐκείνη δὲ αὐτό τε καὶ τὸ ὀρύζιον ἐν ᾗ καὶ περικεκάλυπτο ὀθόνῃ ἐνθεῖσα κατέδησε καὶ τὴν ὀθόνην παρέθετο τῷ εἰς ὑπηρεσίαν τοῦ ἐμπόρου ἐκεῖσε προσκαθημένῳ παιδὶ, καὶ αὐτίκα συνεισῆλθεν τῷ ἀνδρὶ ἐπὶ τὸ ἐνδότερον ἐργαστήριον τοῦ ἐκπληρῶσαι χάριν τὰ τοῦ ἀνδρὸς καταθύμια. ὁ δὲ ἐκείνου ὑπηρέτης λύσας εὐ-

RETRACTATIO.

υἱὸν καὶ διάδοχον ἀνεξετάστως ἀποκτεῖναι θελήσῃς, ἀλλ' ἐπίσχες, ἕως οὗ τὸ ἀληθὲς περὶ αὐτοῦ σοι βεβαιωθείη. ὅμως καὶ ἄλλην διήγησιν ἀκουτισθεῖσάν μοι παρατίθημι. /

p. 40 | Ἀνὴρ γάρ τις τὴν ἑαυτοῦ σύζυγον ἐπὶ τὴν ἀγορὰν ἔπεμψεν ἀγοράσαι ἑνὸς ἀργυρίου ὀρύζιον. ἡ δὲ ἀπῆλθεν ἔν τινι τῶν κατὰ τὴν ἀγορὰν ἐργαστηρίων καὶ δοῦσα τὸ ἀργύριον ἐξωνεῖτο τὸ ὀρύζιον χωρὶς τοῦ καλουμένου σαχάρεως, μεθ' οὗ ἐσθίειν τοῦτο συνήθειαν ἔχομεν οἱ ἄνθρωποι. ὁ γὰρ πωλῶν τὸ ὀρύζιον ἔφη πρὸς τὴν γυναῖκα· οὐδαμῶς, ὦ γύναι, τὸ ὀρύζιον ἄνευ σαχάρεως ἐσθίεται· τί σοι γοῦν ὄφελος ἀγοράσαι τοῦτο μόνον; ἡ δὲ πρὸς αὐτόν· ἡμεῖς τοῦτον ἄρτυμα οὐκ ἔχομεν. ὁ δὲ πρὸς αὐτήν· ἐὰν εἰς τὸ ἐνδότερον ἐργαστήριον συνεισέλθῃς μοι, καὶ ἐκ τῆς σαχάρεως δώσω σοι. ἡ δὲ ἀντέφησε· δός μοι πρῶτον καὶ τότε συνεισελεύσομαί σοι· γινώσκω γὰρ καὶ ἐγὼ τὰς τῶν ἀνδρῶν πανουργίας. ὁ δὲ σταθμήσας δέδωκεν αὐτῇ ἐκ τῆς σαχάρεως. ἐκείνη δὲ τό τε σάχαρ καὶ τὸ ὀρύζιον ἐν τῷ μανδυλίῳ κατέδησε καὶ τὸ μανδύλιον παρέθετο p. 41 πρὸς τὸ παιδίον τῷ ὑπηρετοῦντι τὸ ἐργαστήριον, καὶ αὐτίκα συνεισ|ῆλθε τῷ ἀνδρὶ ἐπὶ τὸ ἐνδότερον οἴκημα τοῦ πληρῶσαι τὸ ποθούμενον τοῦ ἐργαστηριακοῦ. ὁ δὲ παῖς λύσας ἀπὸ τοῦ μανδυλίου τὸ ὀρύζιον καὶ τὸ σάχαρ χοῦν ἀντ' αὐτῶν εἰσβαλὼν εἰς τὸ

---

1 sq. in marg. m. rec.: πε(ρὶ) τῆς ὀρυζίου κὰι τοῦ χώματ(ος) A 3 sq. δι ἑνὸς A, δὲ ἑνὸς B 4 ἐλιόγενες B, ἐλιὄγενες A. cf. Hesych. ἐλειογενές (codex ἐλειογενές)· ὄρυζα ib. et 13 όρύζιον A, idem 7 ορύζιον, 31,6 όριζίου, 31,8 όρίζιον 5 αὐτῷ τὸ B, αὐτὸν A 7 τοῦτὶ AB 9 φησί B 10 sq. ἀντέφησε B 11 πρότερον] ου pro οτ A pr., πρῶτον B 13 καὶ om. B ib. περικάλυπτο A ib. ἐθόνῃ A prope constanter 14 τοῦ addidi («neben den Burschen des Krämers» Syrus Bäthg.) 15 συνεισῆλθε B 18 lemma codicum: τοῦ αὐτοῦ τρίτου φιλοσόφου διήγησις 20 ὀρίζιον Boiss., h. l. fort. ex DE 21 ῥύζιον D, ὀρίζιον E (?). «statim DE ορύζιον, et sic deinceps, sed cum varietate in spiritu» (Boiss.) 22 ὁ δὲ malebant Boiss. et Ebh. ib. πολλῶν F 23 ἀγοράσασα F 24 τοῦτον] τούτον D, τοὺτο F ib. ἄρτυμαν F 29 τῷ παιδίῳ Boiss. ib. ὑπηρετοὺν τι F ib. τῷ ἐργαστηριακῷ? Ebh.

θὺς τοὺς τῆς ὀθόνης συνδέσμους ἀποκενοῖ μὲν ἐξ αὐτῆς ἀμφότερα τὰ εἴδη, χοῦν δὲ ἀντ' αὐτῶν ἀγαγὼν τῇ ὀθόνῃ ἐναπέδησεν. εἶτα ἡ γυνὴ θᾶττον ἐκεῖθεν ἐξελθοῦσα, σύντρομός τε ὑπὸ τῆς αἰδοῦς καὶ κατάφοβος τυγχάνουσα, εὐθὺς ἄρασα τὴν ἑαυτῆς ὀθόνην ἐπὶ τὴν οἰκίαν ἐπανέκαμψεν. εἰσελθοῦσα δὲ παρὰ τὸν ἴδιον ἄνδρα ἐγγὺς τούτου τὴν ὀθόνην τίθησι καὶ εἰσέδυ ἐνδότερον τοῦ ἀγαγεῖν χύτραν εἰς ἕψησιν τοῦ ὀρυζίου. ὁ μέντοι ταύτης ἀνὴρ λύσας ἐν τῷ μεταξὺ τοὺς καταδέσμους τῆς ὀθόνης ὁρᾷ αὐτίκα τὸν χοῦν, καί φησι τῇ γυναικί· τί ἐστιν τοῦτο, ὦ γύναι; χοῦν ἡμῖν ἀπεκόμισας ἢ μᾶλλον ὀρύζιον; γνοῦσα δὲ καθ' ἑαυτὴν ἡ γυνὴ ὡς ὁ τῷ ἐμπόρῳ ἐξυπηρετῶν παῖς τὸ δρᾶμα εἰργάσατο, τὴν χύτραν ἐάσασα σινιατήριον τῶν ψιλῶν ἀντ' αὐτῆς κεκόμικεν, ὅπερ ἡ συνήθεια καθαρώτατον κόσκινον ὀνομάζειν εἴωθεν, καὶ λέγει πρὸς τὸν ἄνδρα· ἐν τῇ ἀγορᾷ, ὦ ἄνερ, πορευομένης μου ὑπό τινος ἵππου λὰξ πληγεῖσα πέπτωκα καὶ εὐ|θὺς [A f. 269] τὸν ἄργυρον ἐν ἐκείνῳ τῷ τόπῳ ἀπόλεσα· δι|ὸ [B f. 73] ἐκεῖθεν τουτονὶ τὸν χοῦν συλλέξασα ἤγαγον, ὅπως αὐτὸν σινιάσασα τὸν ἄργυρον ἴσως εὕροιμι. ταῦτα αὐτῆς τῷ ἀνδρὶ προβαλλομένης ἐκεῖνος εὐθὺς τοῖς λαληθεῖσι πεπίστευκε καὶ αὐτὸς τὸν χοῦν αὐτοχείρως ἐσινίαζεν, ὡς καὶ τὴν αὐτοῦ γενειάδα ὑπὸ τούτου κονιορτοῦσθαι. γνῶθι τοιγαροῦν ἐντεῦθεν, ὦ βασιλεῦ, ὡς τῶν γυναικείων μηχανημάτων καὶ

RETRACTATIO.

μανδύλιον ἐνέδησεν. ἡ δὲ γυνὴ θᾶττον ἐκεῖθεν ἐξελθοῦσα σύντρομος καὶ φοβουμένη ὑπὸ τῆς ἐντροπῆς, ἄρασα τὸ μανδύλιον εἰς τὴν ἑαυτῆς οἰκίαν ἀπήρχετο. εἰσελθοῦσα παρὰ τὸν ἄνδρα ἔγγιστα τούτου τὸ μανδύλιον ἔθηκε καὶ εἰσῆλθεν εἰς τὸ ἐνδότερον τοῦ οἰκήματος τοῦ ἀγαγεῖν χύτραν. ὁ δὲ ἀνὴρ αὐτῆς λύσας τὸ μανδύλιον ὁρᾷ χοῦν ἐντός, καὶ φησὶ πρὸς αὐτήν· ὦ γύναι, τί ἐστι τοῦτο; χοῦν μοι ἐκόμισας μᾶλλον ἢ ὀρύζιον; γνοῦσα δὲ καθ' ἑαυτὴν ἡ γυνὴ ὡς ὁ παῖς τοῦ μυρεψοῦ τοῦτο εἰργάσατο, σινίατρον, ἤτοι κόσκυνον, ἀντὶ τζουκαλίου ἐκόμισε, καὶ λέγει τῷ ἀνδρί· ἐν τῇ ἀγορᾷ, ὦ ἄνερ, πορευομένης μου ἵππος μοι ἐλάκτισε, καὶ τὸ ἀργύριον ἀπώλεσα· διόπερ τὸν χοῦν τοῦτον ἐκλεξαμένη ἤγαγον, ὅπως | [p. 42] αὐτὸν κοσκινίσω καὶ ἴσως τὸ ἀργύριον εὕροιμι. ταῦτα αὐτῆς τῷ ἀνδρὶ λαλησάσης ἐκεῖνος πεπίστευκε καὶ αὐτοχείρως τὸν χοῦν ἐκοσκίνιζεν, ὡς καὶ τὸ γένειον κονιορτοῦσθαι. ταῦτα τοῦ μιαροῦ γυναίου τὰ κατορθώματα, καὶ ἀπὸ τούτου γνῶθι, βασιλεῦ, ὡς τῶν γυναικείων μηχανημάτων καὶ τῶν οἰκείων αὐτῶν βουλευμάτων οὐδεὶς περιγενέσθαι δύναται, ἂν μὴ γνώσει καὶ ἀρετῇ ἐμπεφραγμένος

---

1 τῆς om. A ib. δεσμοὺς B 2 ἐναπέδησε B 6 χῖτραν B hic et infra ib. post ἀνὴρ rasura 4 vel 5 litterarum B 7 τὶ ἐστὶν A 8 ἡμῖν bis A ib. δὲ om. B 8 sq. καθεάυτῆ A 9 ἐξεπηρετῶν A 10 συνήἀτήρϊον A, σινιάτωρον B. cf. Hesych. σινιατήριον· κόσκινον ib. ἀνταυτῆς κεκόσμηκεν A, αὐταύτῆς κεκόμικεν B 10 sq. καθαρο^{ττ} B 11 εἴωθε B 12 εὐθὺς τὸ A 13 ἀπολέσασα B ib. τοῦτον ἴτον A, τουτωνὶ τὸν B 14 εὔριμοι B 16 ἐσινίζεν B 17 ὦ βασιλεῦ ἐντεῦθεν B 18 ἐνέδυσεν F 19 καὶ εἰσελθοῦσα Ebh., potius εἰσελθοῦσα δὲ 24 ἤτοι κόσκινον (sic Boiss. pro κόσκυνον) seclusit Ebh. 25 μοι] με? Ebh. 26 κοσκυνίσω F corr. m. pr. 27 ἐκοσκύνιζεν F, ἐκοσκύνισεν E 28 τὸ om. D 29 καὶ τῶν om. D 30 ἐμπεφραγμένον F

τῶν ποικίλων αὐτῶν βουλευμάτων οὐδεὶς περιγίνεται. τούτοις τοῖς λόγοις ἡδέως προσσχὼν ὁ βασιλεὺς κελεύει αὖθις σχολάσαι τὴν ἀναίρεσιν τοῦ υἱοῦ αὐτοῦ./

Ἡ δέ γε πονηρὰ γυνὴ κατ' αὖ τὴν τετάρτην ἡμέραν πάλιν παρέστη τῷ βασιλεῖ μάχαιραν κατέχουσα τῇ χειρί, καὶ φησὶ πρὸς αὐτόν· βασιλεῦ, εἰ μὴ ἀπὸ τοῦ παιδός σου θᾶττόν με διεκδικήσεις, ταύτῃ δὴ τῇ μαχαίρᾳ ἐμαυτὴν ἀνελῶ. πέποιθα δὲ ἐπὶ θεὸν ὅτι κατὰ τῶνδε τῶν ἐχθρῶν σου μᾶλλον καὶ οὐ συμβούλων νίκην τοιάνδε δῴη μοι, ὁποίαν δὴ καί τινι βασιλέως υἱῷ κατὰ τοῦ φιλοσόφου συμβούλου τοῦ πατρὸς αὐτοῦ βραβευθῆναι λέγεται. ὁ δὲ βασιλεὺς λέγει τῇ γυναικί· καὶ τίς ἦν ἡ ἐκείνου ὑπόθεσις; ἡ δὲ, ἦν γάρ τις, φησί, βασιλεὺς καὶ ἐκέκτητο υἱόν, ᾧ τινι θυγατέρα βασιλέως ἑτέρου περικαλλῆ ἐμνηστεύσατο. ἧς ὁ πατὴρ δεδήλωκε τῷ τοῦ παιδὸς φυτοσπόρῳ λέγων· στεῖλον πρός με τὸν ἐμὸν γαμβρόν, ὡς ἂν ἐνταῦθα ἐκτελέσω ἀμφοτέρων τῶν μνηστήρων τοὺς γάμους, καὶ εἰθούτως ὁπότε καὶ βουληθῇ ὁ υἱός σου ἀράτω τὴν ἑαυτοῦ σύζυγον καὶ πρὸς σὲ ἀμφότεροι ἐπανελθέτωσαν. ὁ δὲ τοῦ γαμβροῦ πατὴρ κελεύει αὐτῷ εὐθὺς πρὸς τὸν πενθερὸν ἀπιέναι. εἶχεν δέ τινα σοφώτατον σύμβουλον ὁ βασιλεὺς ἐκεῖνος καὶ ἐπέτρεψε κἀκείνῳ μετὰ τοῦ υἱοῦ ἀπελθεῖν. καὶ δὴ ἀμφότεροι τῆς ὁδοῦ

RETRACTATIO.

ὑπάρχῃ. τούτοις τοῖς λόγοις μαλακισθεὶς ὁ βασιλεὺς τὴν ἀναίρεσιν τοῦ υἱοῦ αὐτοῦ διεκώλυσε./

Ἡ δέ γε πονηρὰ γυνὴ κατὰ τὴν τρίτην ἡμέραν παρέστη τῷ βασιλεῖ μάχαιραν κατέχουσα τῇ χειρί, καὶ φησὶ πρὸς αὐτόν· εἰ μὴ ἀπὸ τοῦ παιδός σου θᾶττόν με ἐκδικήσεις, ὦ βασιλεῦ, ταύτῃ τῇ μαχαίρᾳ φονεύσω ἐμαυτήν. πέποιθα δὲ ἐπὶ τὸν θεὸν ὅτι κατὰ τῶνδε τῶν ἐχθρῶν σου μᾶλλον ἢ συμβούλων σου, τῶν φιλοσόφων, νίκην τοιάνδε δῴη μοι, ὁποίαν δὴ καί τινι βασιλέως υἱῷ κατὰ τοῦ φιλοσόφου καὶ συμβούλου
p. 43 λέγεται τοῦ | πατρὸς αὐτοῦ γεγενῆσθαι. ὁ δὲ βασιλεὺς λέγει τῇ γυναικί· καὶ τίς ἦν ἐκείνου τοῦ σοφοῦ συμβούλου ὑπόθεσις; ἡ δὲ φησίν· ἦν τις βασιλεὺς ἔχων υἱόν, καὶ ἐμνηστεύετο αὐτῷ θυγατέρα βασιλέως ἑτέρου, ἧς ὁ πατὴρ ἐμήνισε τῷ τοῦ γαμβροῦ πατρὶ εἰπών· πέμψον πρός με τὸν ἐμὸν γαμβρόν, ὡς ἂν ἐνταῦθα ἐκτελέσω τοὺς γάμους, καὶ μετὰ ταῦτα ὅτε θελήσει ὁ υἱός σου μετὰ τῆς ὁμοζύγου αὐτοῦ αὐτόθι ἐπανήξει. ὁ δὲ πατὴρ τοῦ γαμβροῦ ἅμα τὸν υἱὸν κελεύει πρὸς τὸν πενθερὸν ἀπιέναι. εἶχε δέ τινα σοφώτατον σύμβουλον ὁ βασιλεὺς ἐκεῖνος καὶ μετὰ τοῦ υἱοῦ αὐτοῦ ἀπελθεῖν ἐκέλευσε. καὶ δὴ ἀμφοτέρων τῆς ὁδοῦ ἐχομένων ὁ ἀκολουθῶν αὐτοῖς ὄχλος

---

1 αὐτοῦ A 2 προσχῶν A ib. καὶ ante αὖθις inserit B 3 in marg. m. rec.: ἡ δὲ γηνή A ib. καταύτην δὲ τὴν τετάρτην ἡμέραν πάλιν A, κατ' αὐτὴν δὲ τὴν τρίτην πάλιν ἡμέραν (Syrus Bäthgeni: «Erwiderung des bösen Weibes. Am vierten Tage kam das böse Weib zum König» cet.) 4 κατέχουσαν AB 5 διὲκδικήσεις A, ἐκδικήσεις B ib. δὴ om. B ib. μάχαιρα B 6 συνβόλων A, συμβούλων σου B 8 τοῦ om. B 9 τίς ἦν ἡ B, τίσῦν A ib. ἀπόθεσις A ib. in marg. m. rec.: πε(ρὶ) τοῦ ἀνδρός, εἰς (leg. ὃς) ἔπιεν τὸ ὔ (γρ) (= ὑγρόν?) καὶ ἐγεγον(ει) νεάνις A 10 θυγατέραν B 12 μνηστόρων B. fortasse neutrum verum est, sed scribendum τὸ μνῆστρον (quod non solum sponsalia significat) deleto interpretamento τοὺς γάμους 13 καὶ βουλ. A, βουλ. καὶ B 19 lemmata: τῆς μιαρᾶς γυναικὸς γ' E, τῆς μιαρᾶς γυναίου D, lemmate caret F 23 δώῃ F 25 ἡ ὑπόθεσις Ebh. 26 ἐμήνυσε Boiss. 30 σύμβουλον om. F ib. αὐτῷ? 30 ἐρχομένων D corr.

ἐχόμενοι παντὸς τοῦ συμπαρομαρτοῦντος ὄχλου ἦσαν προπορευόμενοι. καὶ οὕτω τὴν ὁδὸν ἀνύοντες ὑπὸ δίψης ὕδατος προσεδεήθησαν, καὶ περιερχόμενοι πηγὴν ἐφευρεῖν μιᾷ μόνῃ πηγῇ ἐντυγχάνουσιν, ἧς ἡ φύσις τοιῶσδε ἦν ἔχουσα· εἴ τις γὰρ ἀνὴρ ἐξ αὐτῆς ἐπεπώκει, εὐθὺς εἰς γυναικείαν ὄψιν μετεμορφοῦτο. ὁ μέντοι τοῦ βασιλέως ἐκείνου φιλοσοφώτατος σύμβουλος | ἠπίστατο πρὸ τούτου τὴν τῆς [A f.270] πηγῆς ἐκείνης συνήθειαν, οὐδὲν δὲ περὶ ταύτης τῷ παιδὶ διεσάφησε· τοὐναντίον δὲ λέγει πρὸς αὐτόν· μεῖνόν με παρὰ τῇδε τῇ πηγῇ, ἄχρις ἂν ἐγὼ μόνος περαιτέρω μικρὸν προελθὼν γνώσομαι εἴπερ ἄρα τὴν ὁδοιπορίαν ἡμῶν ἐπευθείας πορευόμεθα. καὶ καταλιπὼν ἐκεῖσε τὸν τοῦ βασιλέως υἱὸν πρὸς τὸν αὐτοῦ πατέρα ἐπανέκαμψεν καί τινα λυπηρὰν ἀγγελίαν περὶ τοῦ υἱοῦ πλασάμενος ἀπήγγειλεν αὐτῷ λέγων· βασιλεῦ, ὁ υἱός σου, οἴμοι, ὑπὸ λέοντος κατεβρώθη. | ὁ μέν- [B f.74] τοι παῖς τὸν τοῦ πατρὸς πονηρότατον σύμβουλον παρὰ τῇ πηγῇ προσμένων διετέλει. εἶτα ἐν τῷ μεταξὺ τῆς δίψης αὐτὸν σφοδρότερον φλεγούσης ἐγερθεὶς αὐτίκα ἐξ ἐκείνης τῆς πηγῆς ἔπιε καὶ ἅμα τῇ πόσει εἰς γυναικείαν ὄψιν νεάνιδος μετεμορφώθη, καὶ διηπόρει τί ἄρα καὶ δράσαιτο. φυτηκόμος δέ τις ἀνὴρ ἐκεῖσε παραγενόμενος ἐπηρώτησε τὸν παῖδα λέγων· πόθεν εἶ σύ, καὶ τίνος υἱός; καὶ τίς ἐνταῦθά σε ἤγαγεν; ὁ δὲ παῖς τῷ ἀνδρὶ ἀπεκρίνατο· ἐγὼ βασιλέως τοῦ δεῖνος τυγχάνω υἱὸς καὶ ἀπηρχόμην κατ' ἐντολὴν τοῦ ἐμοῦ πατρὸς πρὸς βασιλέα

RETRACTATIO.

ἦν ἔμπροσθεν πορευόμενος. καὶ ὁδοιποροῦντες δίψῃ μεγίστῃ ἐκρατήθησαν ὁ φιλόσοφος ἅμα τῷ γαμβρῷ· καὶ δὴ ὧδε κἀκεῖσε διερχόμενοι ἐντυγχάνουσί τινι πηγῇ, ἥτις εἶχε τοιαύτην φύσιν, ὅτι ὁποῖος ἀνὴρ ἐξ αὐτῆς ἔπιε, εἰς γυναικείαν εὐθὺς ὄψιν μετεμορφοῦτο. ὁ μέντοι σο|φώτατος ἐκεῖνος τοῦ βασιλέως σύμβουλος ἐγίνωσκε πρὸ τούτου τῆς [p. 44] πηγῆς ἐκείνης τὴν συνήθειαν καὶ οὐδὲν περὶ τούτου τῷ νέῳ βασιλεῖ διεσάφησε· τοὐναντίον δὲ λέγει αὐτῷ· καρτέρησον παρὰ τῇδε τῇ πηγῇ, ἄχρις ἐγὼ μόνος μακρότερον προελθὼν γνώσομαι εἴπερ ἄρα τὴν ὀρθὴν ὁδὸν πορευόμεθα. καὶ καταλιπὼν ἐκεῖσε τὸν τοῦ βασιλέως υἱὸν πρὸς τὸν αὐτοῦ πατέρα ὑπέστρεψε καί τινα ἀγγελίαν πλασάμενος λυπηρὰν ἀπήγγειλε τῷ πατρὶ λέγων· βασιλεῦ, οἴμοι, ὁ υἱός σου ὑπὸ λέοντος κατεβρώθη. ὁ μέντοι παῖς παρὰ τῇ πηγῇ καρτερῶν ὑπῆρχε τὸν σύμβουλον· τῇ δὲ δίψῃ καταφλεχθεὶς αὐτίκα ἐξ ἐκείνης τῆς πηγῆς ἔπιε καὶ ἅμα τὸ πιεῖν εἰς γυναικείαν ὄψιν μετεποιήθη, καὶ διηπορεῖτο τί ἄρα ποιήσειε. κηπωρὸς δέ τις ἀνὴρ ἐκεῖσε παραγενόμενος ἐπηρώτισε τὸν παῖδα λέγων· πόθεν εἶ σὺ, καὶ τίνος υἱὸς τυγχάνεις; καὶ τίς ἐνταῦθά σε ἤγαγεν; ὁ δὲ παῖς ἀπεκρίνατο· ἐγὼ βασιλέως τοῦ δεῖνος τυγχάνω υἱὸς καὶ ἀπερχόμην | καθ' ὁρισμὸν τοῦ πατρός μου πρὸς βασιλέα ἕτερον τὸν δεῖνα χάριν τοῦ [p. 45]

---

1 ἔχομενοι A 3 ἐλευρῆν A ib. μι[α] μο[ν] πηγή ἐντυγχάνουσι B 5 ἐπίστατο B 6 διέσάφησεν B 9 καταλοιπόν A, καταλοιπὸν B pr., corr. καταλειπῶν 10 ἀγγελίαν λυπηρὰν B 11 κατεβρω[θ] B, κατεβρῶθην A 12 post σύμβουλον B inserit ἀπολέσας 13 σφο[δρ] B 14 νεάνιδος om. B neque agnoscit Syrus 15 διηπο[ρ] B, διήπόρη A ib. φυτΐκόμος B, φυτοκόμος A 16 παραγεννόμενος A 18 ἀπερχόμην B 29 ἅμα τῷ Boiss. 31 ἐπηρώτησε Boiss.

ἕτερον τὸν δεῖνα χάριν τοῦ γάμους παρ' αὐτῷ ἐκτελέσαι, καὶ προπορευόμενος τοῦ συνεπομένου μοι ὄχλου μακρὰν ἐκείνου γέγονα, εἶτα μονωθεὶς ἀπεπλανήθην, δίψῃ δὲ σφόδρα κατεχόμενος τῇδε τῇ πηγῇ ἐνέτυχον, καὶ ἐξ αὐτῆς πιὼν εὐθύς, ὡς ὁρᾷς, εἰς γυναικείαν μετεποιήθην ὄψιν. ὁ δὲ ἀνὴρ ἐκεῖνος τῶν ῥημάτων τοῦ νέου ἀκούσας κατῴκτειρε τοῦτον τῆς κατεχούσης συμφορᾶς, καὶ φησὶ πρὸς αὐτόν· ἐγὼ ἀντὶ σοῦ εἰς γύναιον μεταμειφθήσομαι καὶ ἐπὶ μῆνας τέσσαρας τῇ γυναικείᾳ μορφῇ ἐπιμένω, ἄχρις ἂν σὺ τοὺς γάμους σου ὡς αἱρετόν σοι ἐκτελέσεις· πλὴν ὅμοσόν μοι ὡς μετὰ τὸ πέρας τῶν τεσσάρων μηνῶν πάλιν ἐλεύσῃ πρός με. ὁ δὲ τοῦ βασιλέως υἱὸς ὄμοσε τῷ φυτηκόμῳ ἐκείνῳ ὡς ἐκ παντὸς τρόπου πρὸς αὐτὸν ἐλεύσεται. ὁ δὲ ἀνὴρ παραχρῆμα εἰς γυναῖκα μετεμορφώθη καὶ ὑπέδειξεν αὐτῷ καὶ τὴν πρὸς τὸ ζητούμενον κατευθύνουσαν ὁδόν. μετὰ δὲ
A f. 271 ταῦτα τῶν τεσσάρων μηνῶν περαιωθέντων ἐμνήσθη ὁ τοῦ βασιλέως | υἱὸς τῶν ἐν ὅρκῳ συνθηκῶν καὶ πρὸς τὸν φυτηκόμον εὐθὺς παραγίνεται τὴν γυναικείαν ἔτι μεταμόρφωσιν ἔχοντα. εὑρίσκει δὲ αὐτὸν καὶ κατὰ τὴν φύσιν τῶν γυναικῶν ἐν γαστρὶ συλλαβόντα, οἷα τῆς αὐτοῦ γαστρὸς ἠρμένης οὔσης πρὸς ὄγκον. καὶ φησὶν αὐτῷ ἐξ εὐλόγου τῆς προφάσεως· πῶς ἄρα γε τὰ νῦν ἀντὶ σοῦ εἰς γυναῖκα μεταμειφθήσομαι; καὶ γὰρ ὅτε με πλησίον τῆς πηγῆς ἐν τῇ γυναικείᾳ μορφῇ εὕρηκας παρθένος ἐγὼ τὸ σῶμα ἐτύγχανον, καὶ σὺ νῦν κατὰ γαστρὸς

RETRACTATIO.

τελέσαι με τοὺς γάμους, καὶ ἔμπροσθεν πορευόμενος τοῦ ἀκολουθοῦντός μοι ὄχλου μακρὰν γεγονὼς ἀπεπλανήθην, καὶ δίψῃ μεγάλῃ συνεχόμενος τῇ πηγῇ τῇδε προσπελάσας ἔπιον ἀπ' αὐτῆς καὶ ἅμα εἰς γυναικείαν ὄψιν μετεβλήθην. ὁ δὲ ἀνὴρ ἐκεῖνος τῶν ῥημάτων τοῦ νέου ἀκούσας κατοίκτειρε τοῦτον τῆς συμφορᾶς, καὶ λέγει αὐτῷ· ἐγὼ ἀντὶ σοῦ εἰς γύναιον μεταμορφωθήσομαι καὶ ἐπὶ μῆνας τέσσαρας τῇ γυναικείᾳ μορφῇ καρτερήσω, ἄχρις ἂν σὺ τοὺς σοὺς γάμους ἐκτελέσῃς· πλὴν ὅμοσόν μοι ὡς μετὰ τὴν τελείωσιν τῶν τεσσάρων μηνῶν πάλιν ἐλεύσῃ πρός με. ὁ δὲ τοῦ βασιλέως υἱὸς ὤμοσε τῷ κηπωρῷ ἐκείνῳ ὡς ἐκ παντρόπου πρὸς αὐτὸν ἐλεύσεται. ὁ δὲ κηπωρὸς παραχρῆμα εἰς γυναῖκα μετεβλήθη καὶ ὑπέδειξεν αὐτῷ καὶ τὴν πρὸς τὸν πενθερὸν αὐτοῦ ὁδὸν τὴν εὐθεῖαν. μετὰ δὲ ταῦτα τῶν τεσσάρων μηνῶν περαιωθέντων ἐμνήσθη
p. 46 ὁ τοῦ βασιλέως υἱὸς τῶν | μεθ' ὅρκου αὐτοῦ ὑποσχέσεων ὧν ὑπέσχετο τῷ κηπωρῷ, καὶ πρὸς αὐτὸν εὐθὺς παραγίνεται τὴν γυναικείαν ἔτι μορφὴν περικείμενον. εὑρίσκει δὲ αὐτὸν καὶ κατὰ τὴν φύσιν τῶν γυναικῶν ἐν γαστρὶ ἔχοντα. καὶ τῆς γαστρὸς αὐτοῦ ἐξογκουμένης οὔσης φησὶ πρὸς αὐτὸν ὁ τοῦ βασιλέως υἱὸς ἐξ εὐλόγου προφάσεως· πῶς ἄρα γε νῦν ἀντὶ σοῦ εἰς γυναῖκα μεταβληθῶ; καὶ γὰρ ὅτε με πλησίον τῆς πηγῆς ἐν γυναικείᾳ μορφῇ εὕρηκας παρθένος ἐγὼ τὸ σῶμα ἐτύγχανον, καὶ σὺ γοῦν ἄρτι ἐν γα-

---

1 γάμου B ib. παραυτῶν A 2 ἐκείνου post εἶτα transponendum? 3 τῇδὲ A ib. καὶ om. B 4 sq. τῶν ῥημάτων τοῦ νέου B, ἀκηὸς τῶν ῥημάτων A 5 κατόκτειρε A ib. τούτου B corr. 6 μεταμορφωθήσωμαι B 7 σου om. B 7 sq. ἐκτελέσω B 8 ὤμωσόν B ib. τεσάρων A ib. ἐλεύσει B 9 ὄμωσε AB ib. φυτῖκόμω B, φυτοχόμω A 11 αὐ B, αὐτὸν A 13 ἐνὄρκω B, ἔνορκω A. ἐνόρκων? ib. φυτηκόμαν A 16 φησὶ πρὸς αὐτὸν νῦν τὸ ἐξ B ib, τὰ om. B 17 πῆγῆς A 18 ἔτυγχανων A 24 ὤμοσον F 26 ἐκ παντὸς τρόπου Boiss.

ἔχεις· πῶς οὖν λοιπὸν κατὰ σὲ γενήσομαι; οὕτως οὖν αὐτῶν ἀλλήλοις διαλεγομένων ὁ τοῦ βασιλέως υἱὸς ἐκεῖνον τὸν ἄνδρα τῇ τοῦ λόγου πιθανότητι νενίκηκε, καὶ πρὸς τὸν ἴδιον πατέρα καὶ βασιλέα σὺν τῇ συζύγῳ ἄσμενος ἀνέκαμψεν καὶ δεδήλωκε τῷ βασιλεῖ ὅσα παρὰ τοῦ σοφοῦ τὴν κακίαν μᾶλλον συμβούλου αὐτοῦ ἐν τῇ ὁδῷ πέπονθεν. ὁ δὲ βασιλεὺς ἐκεῖνος δεινοπαθήσας ἐπὶ τῇ τοῦ πονηροῦ καὶ σκολιοῦ συμβούλου | δολιότητι εὐθὺς αὐτὸν ἀναιρεθῆναι προσέταξεν. οὕτως B f.75 οὖν κἀγώ, βασιλεῦ, ἐπὶ τῇ θείᾳ πέποιθα δίκῃ ὅτι δῴη μοι ἐκδικηθῆναι ἀπὸ τούτων τῶν σκαιῶν σου καὶ σοφῶν | τῇ κακίᾳ συμβούλων. εἰ δ' οὖν, ἐμαυτὴν διαχειρίσομαι καὶ ἔσται τὸ τοῦ κρίματός μου αἴτιον ἐπὶ σέ, ὅτι γε μὴ ἀπὸ τοῦ υἱοῦ σου ὡς ἔδει με ἐξεδίκησας, ὃς εἰς τοσοῦτον ἀπηνείας κατ' ἐμοῦ ἐτρέπετο ὡς καὶ τῷ σώματί μου ὕβριν πειρᾶσθαι ἐπενεγκεῖν. αὖθις δὲ ὁ βασιλεὺς τούτοις τοῖς λόγοις συναρπαγεὶς κελεύει τὸν αὐτοῦ παῖδα ξίφει ὑποβληθῆναι.

Μετὰ δὲ τὴν τοιαύτην ἑτέραν ἀπόφασιν εἰσέρχεται κατὰ τὴν τετάρτην ἡμέραν πρὸς τὸν βασιλέα ὁ τῶν φιλοσόφων αὐτοῦ καὶ συμβούλων τέταρτος, καὶ συνήθως αὐτῷ προσκυνήσας, βασιλεῦ, ἔφη, ζῆθι εἰς τὸν αἰῶνα. γνωρίζω τῷ κράτει σου ὡς οὐ χρή τινα τῶν κατὰ σὲ βασιλέων κατὰ συναρπαγήν τι τὸ σύνολον διαπράττεσθαι, ἄχρις ἂν ἐμπόνως τὸ προτεθὲν συζητήσας οὕτως ἐσύστερον τῇ ἀληθείᾳ ἐπισταίη· ὃς γὰρ ἂν μὴ πρότερον μέχρι τῆς ἀληθείας τὸ

RETRACTATIO.

στρὶ ἔχεις· πῶς ἐγὼ ἐγγαστρωμένος γενήσομαι; οὕτως οὖν διαλεχθεὶς ὁ τοῦ βασιλέως υἱὸς νενίκηκεν ἅμα τὸν κηπωρὸν τῇ τοῦ λόγου πιθανότητι καὶ πρὸς τὸν ἴδιον πατέρα καὶ βασιλέα μετὰ χαρᾶς ὑπέστρεψε καὶ τῷ πατρὶ διηγήσατο ὅσα παρὰ τοῦ κακοῦ συμβούλου τοῦ σοφωτάτου ἐκείνου ἐν τῇ ὁδῷ πέπονθε. ὁ δὲ βασιλεὺς ἐκεῖνος μεγάλως ὀργισθεὶς ἐπὶ τῇ συμβουλῇ καὶ πονηρίᾳ τοῦ κακοῦ συμβούλου ἐκείνου ἀναιρεθῆναι προσέταξε τὸν φιλόσοφον. | οὕτως οὖν κἀγώ, βασιλεῦ, ἐπὶ τῇ θείᾳ θαρρῶ κρίσει ὅτι p. 47 δῴη μοι ἐκδικηθῆναι ἀπὸ τούτων τῶν ἀναισχύντων καὶ σοφῶν σου τῇ κακίᾳ συμβούλων. εἰ δ' οὖν, ὡς προεῖπόν σοι, ἐμαυτὴν διαχειρίσομαι καὶ ἔσται ἡ τοῦ ἁμαρτήματός μου αἰτία ἐπὶ σέ, ὅτι με ἀπὸ τοῦ υἱοῦ σου οὐκ ἐκδίκησας ὡς ἔδει κατὰ τὸ δίκαιον καὶ ἀληθές, ὅστις κατ' ἐμοῦ ἐχώρησεν εἰς τοσοῦτον μωρίας καὶ ἀναισχυντίας καὶ παρανομίας. τότε ὁ βασιλεὺς τοῖς τῆς γυναικὸς λόγοις ὑπαχθεὶς κελεύει τὸν υἱὸν αὐτοῦ ἀναιρεθῆναι.

Μετὰ δὲ τὴν ἀπόφασιν πάλιν κατὰ τὴν τετάρτην ἡμέραν ὁ τῶν φιλοσόφων αὐτοῦ καὶ συμβούλων τέταρτος ἔρχεται, καὶ συνήθως αὐτὸν προσκυνήσας, ζῆθι, βασιλεῦ, εἶπεν, εἰς τὸν αἰῶνα. γνωρίζω τῷ κράτει σου ὡς οὐ χρή τινα τῶν κατὰ σὲ βασιλέων κατὰ συναρπαγήν τι τὸ σύνολον διαπράξασθαι, ἕως οὗ καθαρῶς ἐρευνήσῃς καὶ τὴν ἀλήθειαν στήσῃς, καὶ ὅπερ ἀκούσῃς ἀκριβῶς ἐξετάσῃς, ὅπως μὴ συμβήσεται

3 ἀσμένως B 4 δεδήλωκαὶ A 5 τῇ posterius om. B 8 συμβοῦλῶν A ib. ἐμαυτῇ B 8 sq. διαχειρήσωμαι B 10 ἀπὶνόιας A, ἀπονοίας B 11 πειράσθαι A, πειρασθῆναι B 15 αὐτ͂ A, αὐτὸν B 16 σὺνάρπαγῆς A pr., corr. σὺνάρπαγῆν 17 συνόλον A 18 γὰρ] ἂ γ A 28 ὅςτι F 29 τοῖς om. D 32 ἔρχεται om. D 32 sq. προσκυνήσας γνωρίζω mediis omissis D 33 lemma: ὁ (om. F) τέταρτος σύμβουλος 35 ἀκούσεις DE ib. μὴ om. F

ἀκουτισθὲν ἐξετάζοιε, συμβήσεται αὐτῷ ὥσπερ τινὶ τῶν βαλανέων προσγενέσθαι λέγεται. ὁ δὲ βασιλεὺς ἔφη· καὶ πῶς γε; σαφήνισόν μοι. ὁ δὲ σοφώτατος σύμ- A f. 272 βουλος τῷ βασιλεῖ ἀπεκρίνατο· ἦν γάρ τις υἱὸς | βασιλέως, καὶ ἐγένετο ἐν μιᾷ πορευθῆναι αὐτὸν ἐπί τι βαλανεῖον τοῦ περιχρῖσαι ἅμα καὶ ἀπολοῦσαι τὴν σάρκα. ἦν δὲ ὁ αὐτὸς εὐμεγέθης καὶ πολύσαρκος τῷ σώματι, ὡς ἐντεῦθεν μὴ καθορᾶσθαι τὸ παράπαν τὰ τοῦ νέου αἰδοῖα. τοῦτον οὖν ἑωρακὼς ὁ βαλανεὺς περιπαθῶς ἀπωδύρετο. ὁ δὲ τοῦ βασιλέως υἱὸς ἔφη πρὸς αὐτόν· ἵνα τί οὕτως οἰκτρότατα δακρύεις; ὁ δὲ ἀπεκρίνατο· ὅτιπερ υἱὸς μὲν βασιλέως πέφυκας, υἱὸν δὲ σεαυτῷ οὐ δυνήσῃ κτήσασθαι· ὁρῶ γάρ σε μὴ τὰ ἀνδρῶν τὸ σύνολον ἔχοντα, καὶ πῶς γυναικὶ συγγενέσθαι σοι γένηται; ὁ δὲ νέος τὰ ῥήματα τοῦ βαλανέως ἡδέως δεξάμενος δέδωκεν αὐτῷ χρυσὸν ἕνα φήσας πρὸς αὐτόν· γινώσκειν σε λοιπὸν βούλομαι ὡς ὁ βασιλεὺς ὁ πατήρ μου γυναῖκά με ἀγαγέσθαι βούλεται, καὶ τοῦτο ὅπερ ἔφης κἀγὼ ἐπιστάμενος διηπόρημαι τὰ μέγιστα, πῶς ἔσται μοι τῇ γυναικὶ ἐκείνῃ κατὰ τοὺς ἄνδρας συναφθῆναι· ἀλλά μοι λάβε τουτονὶ τὸν χρυσὸν καὶ ἀπελθὼν ἔνεγκέ μοι περικαλλῆ τινα γυναῖκα, ὡς ἂν ἐπ' αὐτῇ τὰ τῆς συνουσίας διαπράξασθαι πειράσομαι. ὁ δὲ βαλανεὺς κομισάμενος τὸν χρυσὸν ἐν ἑαυτῷ ἔλεγεν· ἐνέγκω λοιπὸν τῷδε τῷ νεανίσκῳ τὴν ἐμὴν ὁμόζυγον, ἐπειδή, ὡς ὁρῶ, οὐδὲν τῶν ἀνδρῶν ὁ τοιοῦτος πρὸς συνουσίαν κέκτηται. καὶ

RETRACTATIO.

p. 48 ὡς ἔν τινι τῶν βασιλέων λέγεται προγενέσθαι. | ὁ δὲ βασιλεὺς ἔφη· καὶ πῶς γε, σαφήνισόν μοι. ἦν γάρ τις υἱὸς βασιλέως, καὶ ἐγένετο ἐν μιᾷ ἡμέρᾳ τοῦτον ἀπελθεῖν εἰς τὸ λουτρὸν τοῦ ἀπολοῦσαι τὸ ἑαυτοῦ σῶμα. ἦν δὲ αὐτὸς ἅμα καὶ εὐμεγέθης, ὡς ἐκ τοῦ πάχους μὴ καθορᾶσθαι τὰ τούτου αἰδοῖα. τοῦτον θεασάμενος ὁ λουτράρης ὡς κακοῦ ὄντος τοῦ πάθους ἔκλαιεν. ὁ δὲ τοῦ βασιλέως υἱὸς πρὸς αὐτὸν εἶπεν· ἵνα τί οὕτως δακρύεις ἐλεεινῶς; ὁ δὲ ἀντέφησεν ὅτι· κλαίω διότι ὁρῶ σε, βασιλέως ὄντα σε υἱόν, σὺ δὲ υἱὸν οὐ δυνήσῃ κτήσασθαι· ὁρῶ γάρ σε μὴ ἔχοντα τὰ τῶν ἀνδρῶν αἰδοῖα, καὶ πῶς δυνήσῃ γυναικὶ συγγενέσθαι; ὁ δὲ νέος τὰ ῥήματα τοῦ λουτραρίου εὐφροσύνως δεξάμενος δέδωκεν αὐτῷ χρυσίον λέξας πρὸς αὐτόν· θέλω γινώσκειν σε ὡς ὁ βασιλεὺς ὁ πατήρ μου γυναῖκά μοι ἀγαγέσθαι βούλεται· καὶ τοῦτο ὅπερ μοι εἶπας καὶ ἐγὼ γινώ- p. 49 σκων ἀπορῶ τὰ μέγιστα, πῶς ἔσται μοι ἐκείνῃ τῇ γυναικὶ κατὰ τὴν | τάξιν τῶν ἀνδρῶν συναφθῆναι· ἀλλὰ νῦν λάβε τουτονὶ τὸν χρυσὸν καὶ ἀπελθὼν φέρε μοί τινα γυναῖκα περικαλλῆ, ὡς ἂν ἐπ' αὐτῇ δοκιμάσω ἐμαυτόν. ὁ δὲ λουτράριος τὸν χρυσὸν λαβὼν ἔλεγεν ἐν ἑαυτῷ· ἐνέγκω τάδε τῷ νέῳ βασιλεῖ τὴν ἐμὴν γυναῖκα, ἐπεί, ὡς ὁρῶ, οὐκ ἔχει μόριον πρὸς συνουσίαν. καὶ ταῦτα συλλογισάμενος, ἀπελθὼν ὁ μάταιος ἤνεγ-

---

1 ἐξετάζοιεν B, ἐξεστάζοιε A ib. ὡσπέρ A ib. βασιλέων AB 2 σαφήνησον AB 4 τι] τινα B 7 ἀποδύρετο B 7 sq. οἰκτρώτατα AB 9 κτίσασθαι AB ib. συνόλον A 10 γενηται A ib. βανέως (λ suprascr.) A 12 ὁ πατήρ] καὶ πατήρ B ib. με] μοι AB ib. ἀγάγεσθαι B 13 μέγισταὶ A 14 τοῦτονὶ A 15 ἔνενκέ A ib. περικαλὴ τινὰ AB 16 διάπράξασθαὶ A ib. πϊράσωμαι A 18 ὁρῶν B, ὁρᾶς A 19 ἔν τινι] καί τινι? ἐνὶ? Ebh. ib. παραγενέσθαι E. apparet neque βασιλέων neque προγενέσθαι sollicitandum esse in metaphrasi 20 ὃ δὲ ἔφη ante ἦν inseruit Ebh. ib. lemmata: διήγησις τετάρτου τοῦ τετάρτου φιλοσόφου D, τοῦ τετάρτου φιλοσόφου F ib. ἦν] ὧν E 32 τῷδε, non ἐνθάδε scribendum esse vides

ταῦτα συλλογισάμενος, ἀπελθὼν ὁ μάταιος ἤνεγκεν αὐτῷ τὴν ἑαυτοῦ σύζυγον. ὁ δὲ τοῦ βασιλέως υἱὸς πρὸς ἑαυτὸν τὴν γυναῖκα λαβὼν εἰσήγαγεν αὐτὴν ἔνθα ἡ αὐτοῦ στρωμνὴ παρὰ τῷ βαλανείῳ ἐφήπλωτο καὶ παρ' ὅλην τὴν | B f.76 νύκτα ὡς ἀνδράσι εἴθισται ταύτῃ συνεγίνετο. εἶτα περὶ τὴν πρωίαν προκύψας ὁ βαλανεὺς ὁρᾷ τὸν νεανίσκον τελείαν συνάφειαν ἐν τῇ αὐτοῦ γυναικὶ κατὰ τοὺς ἄνδρας πράττοντα, καὶ πικρᾷ τῇ μεταμελείᾳ πληγείς, δείλαιος ὄντως ἐγώ, καθ' ἑαυτὸν ἔλεγεν, ὅτιπερ τούτου τοῦ δράματος αὐτὸς αὐτόχειρ γεγένημαι. οὕτως οὖν τοῦ ἀνδρὸς τῇ ἀθυμίᾳ τιτρωσκομένου μετὰ μικρὸν ἡ γυνὴ ἐκεῖθεν ἐξέρχεται· καὶ φησὶν πρὸς αὐτὴν ὁ ματαιόφρων ἀνήρ· ἄπιθι τοῦ λοιποῦ, γύναι, πρὸς τὴν οἰκίαν ἡμῶν. ἡ δὲ πρὸς αὐτὸν ἀντέφησεν· πῶς ἄρα προθύμως ἐπὶ τὴν οἰκίαν πορεύσομαι οὕτως παρὰ σοῦ ὑβρισθεῖσα ἐφ' ὁλόκληρον νύκτα, ὅς με | A f. 273 τὴν σὴν γυναῖκα τῷ τοῦ βασιλέως υἱῷ συγκοιτάσαι οὐκ ἐρυθρίασας; τούτοις τοῖς λόγοις ὁ βαλανεὺς σφοδρότερον τὴν καρδίαν νυγεὶς καὶ τῇ ἀνίᾳ καταποθεὶς ἀγχόνῃ τὸν ἑαυτοῦ βίον κατέστρεψε. καὶ σὺ τοιγαροῦν, ὦ βασιλεῦ, μακροθύμησον καὶ μὴ σπεύσῃς οὕτως ἀσυζητήτως ἀπολέσαι σου τὸν υἱόν, μήπως καὶ αὐτὸς κατ' ἐκεῖνον πικρότατα μεταμεληθεὶς οὐδὲν σεαυτὸν ὀνῆσαι δυνήσῃ. πῶς γὰρ ἕνα σε παῖδα καὶ μόνον κεκτημένον οὕτως συναρπάζεσθαι χρεὼν εἰς τὴν ἐκείνου ἀναίρεσιν, καὶ

RETRACTATIO.

κεν αὐτῷ τὴν ἑαυτοῦ σύζυγον. ὁ δὲ τοῦ βασιλέως υἱὸς εἰσήγαγε τὴν γυναῖκα ἔνθα ἡ στρωμνὴ ἐν τῷ λοετρῷ ἡτοίμασται καὶ ὅλην τὴν νύκτα ὡς συνήθεια τοῖς ἀνδράσι τῇ γυναικὶ συνεμίγνυτο. εἶτα περὶ τὴν αὐγὴν παρακύψας ὁ λουτράριος ἀπό τινος ὀπῆς ὁρᾷ τοῦτον γαυριῶντα μεγάλως καὶ ὥσπερ ἵππον μετὰ χρεμετισμοῦ τῇ γυναικὶ μιγνύμενον· καὶ πικρῶς ὁ βαλανεὺς ἀνοιμώξας ὠδύρετο λέγων· οἴμοι, τίς γένωμαι; τί πέπονθα ὁ τάλας; τί εἴπω τῇ γυναικί μου, ἢ αὐτὴ τί εἴπῃ πρός με; ἆρα θελήσει ἐμοὶ συνοικεῖν, ἢ τὸν νέον ἀγαπήσασα ἐμὲ καταλίψει; οὕτως οὖν τοῦ ἀνδρὸς τῇ ἀθυμίᾳ τρυχομένου, | p. 50 ὡς ὁ νέος ἐπαύσατο, ὁρᾷ τὴν γυναῖκα ἐκεῖθεν ἐξερχομένην· καὶ φησὶ πρὸς αὐτὴν ὁ ματαιόφρων ἀνήρ· ἄπιθι τὸ λοιπόν, γύναι, πρὸς τὴν οἰκίαν ἡμῶν. ἡ δὲ πρὸς αὐτὸν ἀντέφησε· πῶς ἄρα προθύμως ἐπὶ τὴν οἰκίαν πορεύσομαι οὕτως παρὰ σοῦ ὑβρισθεῖσα ὁλόκληρον νύκτα, ὅς με τὴν σὴν γυναῖκα οὐκ ἐνετράπης τῷ τοῦ βασιλέως υἱῷ συγκοιτᾶσαι; τούτοις τοῖς λόγοις ὁ ἀνὴρ τρωθείς, τῇ λύπῃ καὶ τῇ πολλῇ ἀθυμίᾳ λιποψυχήσας τὴν ζωὴν κατέστρεψε. διὸ καὶ σύ, βασιλεῦ, μακροθύμησον καὶ μὴ σπεύσῃς οὕτως ἀνερευνήτως ἀπολέσαι σου τὸν υἱόν, μή πως καὶ σὺ κατ' ἐκεῖνον τὸν μὴ ἐξετάσαντα βαλανέα πικρότατα μεταμεληθεὶς τὸ ζῆν ἐκμετρήσεις. πῶς γὰρ ἕνα σε παῖδα καὶ μόνον κεκτημένον οὕτω συναρπάζεσθαι πρέπον εἰς τὴν ἐκείνου ἀναίρεσιν,

---

3 παρόλην νύκταν A, γὰρ ὅλην τὴν νύκτα B 5 πράττοντας B 6 sq. τῇ μεταμελείᾳ — αὐτόχειρ om. B 7 γεγέννημαι A, καὶ γεγένημαι B 8 φησὶ B 9 τὸ λοιπὸν B ib. ἡ] ὁ A 10 πορεύσωμαι A 11 ὅς] ὧς A 12 συγκοιτᾶσαι B, συγκϊτᾶσαι A ib. post βαλανεὺς B inserit ἀκούσας 13 νυγεῖς A, ὑγεῖς B ib. ἀνοίᾳ A 14 σπεύσεις B 15 ἀπολέσεις B 16 δηνηθῇ σοι (= δυνηθήσῃ) B 17 οὕτω B 19 ἡτοίμαστο? Ebh. 22 ἀνοιγκώσας D 23 ἢ αὐτῇ F, ἡ αὕτη D 24 κατὰ λίψει D, καταλείψει Boiss. 25 τρυχωμένου F 26 τολοιπὸν F saepius 27 πορεύομαι D 29 τοῖς om. D 31 ἀνερμηνεύτως EF 32 μεληθεὶς D ib. ἐκμετρήσῃς Ebh.

ταῦτα μήπω εἰδότα κἂν ἀληθὴς κἂν ψευδὴς ἡ κατ' ἐκείνου προτεθεῖσα διαβολὴ πέφυκε; . . . . .

Γυνὴ γάρ τις ἦν ἀνδρὶ νομίμῳ συζῶσα, ὃς δὴ καὶ ἐπί τινα ἐξεδήμει ὁδοιπορίαν καὶ μέλλων τῆς ἑαυτοῦ ἐξιέναι οἰκίας συνθήκας ἐνόρκους τὴν γυναῖκα ἀπήτησεν, ᾧ καθ' ὁμοιότητα καὶ αὐτὸς αὐτῇ συνετάξατο ὡς τὴν πρὸς ἀλλήλους ὁμόψυχον πρόθεσιν ἀπαράτρωτον τηρήσουσιν καὶ σωφρονοῦντες ἔσονται ἄχρι δὴ τῆς τοῦ ἀνδρὸς πρὸς αὐτὴν ἀνακάμψεως. εἶτα καὶ δεδήλωκε τῇ γυναικὶ ὡς· μετὰ τόσας ἡμέρας πρὸς τὴν οἰκίαν ἐπανελεύσομαι. μετὰ δέ τινα καιρὸν τῆς διορίας τῶν ἡμερῶν περαιωθείσης προέκυπτεν ἡ γυνὴ τῇ ὁδῷ προσέχουσα, εἴπερ ἄρα ὁ ἀνὴρ αὐτῆς καθορᾶται ἐρχόμενος. νέος δέ τις αὐτὴν θεασάμενος καὶ ταύτης ἐρασθεὶς ἤρξατο αὐτῇ περὶ συνουσίας διαλέγεσθαι· ἡ δὲ οὐδόλως ἠνέσχετο. ὁ δὲ τὴν καρδίαν δεινῶς τῷ ἐκείνης ἔρωτι τιτρωσκόμενος πορεύεται πρός τινα γραΐδα γυναῖκα ἐγγύς που τῆς ἐρωμένης γυναικὸς ἐκείνης τὴν οἴκησιν ἔχουσαν, καὶ φησὶν πρὸς αὐτὴν ὡς· τήνδε τὴν γειτνιῶσάν σοι κόρην ἀθρόον προκύπτουσαν ἰδὼν καὶ σφοδρῶς αὐτῆς ἐρασθεὶς πρὸς συνουσίαν ἐβιασάμην, οὐδαμῶς δέ μοι τὸ παράπαν πειθομένην ἐφεῦρον, ἀλλὰ καὶ βαρέως ἐνεγκοῦσαν τὸ εἰρημένον. εἰ οὖν σὺ ταύτην πεισθῆναί μοι παρασκευάσεις, ὃ ἂν ἐξ ἐμοῦ θελήσῃς

RETRACTATIO.

καὶ ταῦτα μὴ γινώσκοντά σε καθαρῶς εἴτε ἀληθὲς εἴτε ψευδὲς τὸ κατ' ἐκείνου λαλούμενον; καὶ δὴ πρὸς τούτοις ἕτερόν τί σε βούλομαι διηγήσασθαι.

p. 51 |Γυνή τις ἀνδρὶ νομίμῳ συζῶσα, ἄνδρα τὸν ἑαυτῆς εἴς τινα ὁδοιπορίαν βουλόμενον ἀπελθεῖν καὶ τῆς αὐτοῦ ἐξιέναι οἰκίας συνθήκας καὶ ὑποσχέσεις τοῦτον ἐζήτησεν, ὁμοίως δὲ καὶ αὐτὸς αὐτήν. καὶ ἄμφω συνετάξαντο πρὸς ἀλλήλους ὡς τὴν κοίτην αὐτῶν ἀμίαντον διαφυλάξωσι καὶ σωφρονοῦντες ἔσονται ἄχρι τῆς τοῦ ἀνδρὸς ἐπαναστροφῆς. εἶτα καὶ ἀριθμὸν ἡμερῶν δέδωκεν ὁ ἀνὴρ τῇ γυναικὶ ὅτι· μετὰ τὰς ἡμέρας ταύτας εἰς τὴν οἰκίαν ἐπανελεύσομαι. διὸ καὶ τῆς διωρίας τῶν ἡμερῶν τελεσθείσης ἡ γυνὴ τῇ ὁδῷ ἐπλησίαζε. ὁρῶσα εἴπερ ὁ ἀνὴρ αὐτῆς καθορᾶται ἐρχόμενος, οὐχ ἑώρα. ὅτε καὶ νέος τις αὐτὴν θεασάμενος ἥλω τῷ ταύτης ἔρωτι καὶ ἤρξατο περὶ τούτου αὐτῇ διαλέγεσθαι· ἡ δὲ οὐδαμῇ οὐδαμῶς τοὺς περὶ ἔρωτος λόγους ἐδέχετο. ὁ δὲ νεανίας τῷ τῆς γυναικὸς ἔρωτι μάλα δηχθεὶς πρός τινα γραῦν ἀπῄει πλησίον τῆς ἐρωμέ-
p. 52 νης οἰκοῦσαν, καὶ λέγει τῇ γραΐδι ὡς· ἐξαίφνης ἰδὼν τὴν σὴν γειτόνισαν ἠράσθην | αὐτὴν καὶ πρὸς ὁμιλίαν ἐβιασάμην, ἡ δὲ οὐδαμῶς εἰς τὸ παντελὲς ὑπακούει μου, ἀλλὰ καὶ βαρέως τοὺς ἐμοὺς δέχεται λόγους. εἰ οὖν σύ, ὦ μῆτερ, ταύτην καταπείσεις τοῖς

---

1 εἰδῶται A ib. ψεῦ (with ς above) A (= ψεῦστις?) ib. διατεθεῖσα διαβολὴ B 2 significavi lacunam 3 in marg. m. rec.: πε(ρὶ) τοῦ ἐξϊέν(αι) τῆς οἰκίας αὐτοῦ A ib. γάρ τις ἦν A, τὶς B ib. νομίμως A 4 ἑαύτοῦ A, αὐτοῦ B ib. τὴν A, τῇ B 5 ᾧ] ὦ A, ὃ B 6 τηρήσουσι B 7 ἄχρις ἡ B 8 τοσαύτας B 9 προσέκυπτεν B 11 περισυνουσίας A, περιουσίας B 13 ἐγγύς που A ib. ἐκείνης om. B 13 sq. ἔχουσα A 14 φησὶ B ib. γειτνιῶσαν σοι A, γειτνιῶσαν B ib. ἀθρόων B 16 εὗρον B 17 σὺ] σοῒ A ib. παρασχέβάσεις A ib. θελήσῃς om. B 20 lemma codicum: διήγησις τοῦ τετάρτου φιλοσόφου ib. [ἄνδρα τὸν ἑαυτῆς]? Ebh. 24 δεδήλωκεν? 25 ἐπανελεύομαι D 26 καὶ ὁρῶσα Ebh. Si quid mutandum, vv. οὐχ ἑώρα eicienda sunt 30 γειτόνισσαν Boiss., cf. p. 92 B.

ζήτησον καὶ δώσω-σοι. ἡ δὲ γραῦς τῶν τοιούτων ῥημάτων ἀκούσασα, ἐγώ, φησίν, τὴν κόρην εὐήκοον καταστήσω σοι. καὶ τοῦτο εἰποῦσα ἐγείρεται εὐθὺς καὶ μηχανικῶς τὰ τοῦ | πράγματος συσκευάζει· ἄλευρον γὰρ ἀγαγοῦσα καὶ τοῦτο B f. 77 ζύμῃ δι' ὕδατος | φύρασα πιπέρεως ὕστερον ἐμπιπλᾷ τὸ φύραμα καὶ οὕτως αὐτὸ A f. 274 εἰς ἄρτον παρασκευάζει, εἶτα τόν τε παρασκευασθέντα ἄρτον καὶ ἣν ἔτυχε κεκτῆσθαι κύνα μεθ' ἑαυτῆς λαβοῦσα πρὸς τὴν κόρην ἐκείνην πορεύεται. ἦν δὲ ἡ κύων κατόπιν τῆς γραΐδος ἀκολουθοῦσα καὶ αὐτῇ τότε πρὸς ἐκείνην συνερχομένη. ὅτε δὲ ἡ γραῦς τῇ οἰκίᾳ τῆς κόρης ἤδη προσεπέλασε, ῥίπτει τῇ κυνὶ αὐτῆς ἐκ τοῦ ἄρτου ἐκείνου, ἡ δὲ κύων φαγοῦσα τοὺς ὀφθαλμοὺς εὐθὺς δακρύων ὑπὸ τοῦ πιπέρεως ἐμπίπλαται καὶ σφοδρῶς δακρυρροοῦσα τῇ γραΐδι συνείπετο. ἐκείνης δὲ εἰσελθούσης πρὸς τὴν ἐρωμένην νεάνιδα ὁρᾷ ἡ κόρη τὴν κύνα δακρύων ὀχετοὺς τῶν ἑαυτῆς προχέουσαν ὀφθαλμῶν καὶ φησὶν πρὸς τὴν γραΐδα· τίς ἡ αἰτία τῶν τῆς κυνὸς ταύτης δακρύων; ἡ δὲ γραῦς αὐτῇ σὺν δάκρυσιν ἀπεκρίνατο· αὕτη ἡ κύων θυγάτηρ μου, φεῦ, ἐτύγχανέν ποτε· καί τινος νεανίσκου ἐρασθέντος αὐτῆς καὶ ποικίλως αὐτὴν πρὸς συνουσίαν ἐκβιάζοντος αὕτη οὐδόλως ἠνέσχετο, ὁ δέ γε νέος ἐκεῖνος ὑπὸ τῆς σφοδρᾶς ἀθυμίας κατηράσατο ταύτην ἐκ κατωδύνου καρ-

RETRACTATIO.

ἐμοῖς εἶξαι λόγοις, ὃ ἂν αἰτήσῃς μοι δώσω σοι. ἡ δὲ γραῦς τῶν λόγων ἀκούσασα λέγει τῷ νέῳ ὡς· ἐγὼ τὴν κόρην εἰς θέλημα σὸν καταστήσω. καὶ τοῦτο εἰποῦσα εὐθὺς ἐγείρεται καὶ τεχνικῶς τὰ τοῦ πράγματος κατορθοῖ· ἄλευρον γὰρ ἀγαγοῦσα καὶ τοῦτο μεθ' ὕδατος ὡς ζύμην σμίξασα πεπέρεως ὕστερον πολλοῦ γεμίζει τὸ ζυμάριον καὶ οὕτως αὐτὸ εἰς ψωμὸν κατασκευάζει. εἶτα ἑψήσασα καὶ τὸν ἄρτον λαβοῦσα, ἔτι δὲ καὶ ἣν εἶχε σκύλαν μεθ' ἑαυτῆς, πρὸς τὴν κόρην πορεύεται. ἦν δὲ ἡ κύων ὄπισθεν τῆς γραὸς ἀκολουθοῦσα. ὅτε δὲ τῷ οἰκήματι τῆς ἐρωμένης ἐπλησίασε, ῥίπτει τῷ κυναρίῳ ἐκ τοῦ ἄρτου ἐκείνου, ἡ δὲ κύων φαγοῦσα τοὺς ὀφθαλμοὺς αὐτῆς δακρύων ἐγεμίσθη ἐκ τοῦ πεπέρεως καὶ σφοδρῶς δακρύουσα ἠκολούθει τῇ | γραΐδι. ταύτης εἰσελ- p. 53 θούσης πρὸς τὴν ἐρωμένην ὁρᾷ αὕτη ἡ γυνὴ τὴν κύνα κλαίουσαν καὶ δάκρυα ἐκ τῶν ὀφθαλμῶν ἀφιεῖσαν· λέγει τῇ γραΐδι· τίς ἡ αἰτία τῶν δακρύων τῆς κυνός; ἡ δὲ γραῦς τῇ ἐρωτομοραιωπλοκοσυνθέτῳ καὶ ποθαγαπημενωπλουμισμένῃ κόρῃ ἀπεκρίνατο μετὰ δακρύων· αὕτη ἡ κύων, ἣν ὁρᾷς, γλαυκοφθαλμοφρυδοβαπτόχειλε, θυγάτηρ μου, φεῦ, ἐτύγχανέ ποτε· καί τινος νεανίας ἀγαπήσας αὐτὴν πρὸς συνουσίαν ἠνάγκασε, αὕτη δὲ οὐδόλως ἐκείνῳ ἤκουσε. καὶ ὁ νέος ὑπὸ τῆς πολλῆς ἀθυμίας κατηράσατο ταύτην ἐκ

---

2 φησὶ B 4 πιπέριως A, πεπέρεως B 5 ης ἄρτο A ib. τε om. B 7 ἀκολουθοῦντα A ib. συνεισερχομένη B 8 πρὸσὲπέλασε A, ἐπέλασε B ib. αὐτοῦ B 10 δακρύρροοῦσα B 12 προχέουσα B ib. φησὶ B 15 αὐτῇ A 16 τῇσφοδρὰς A ib. κατοδύνου AB 20 πεππέρεως EF, hic etiam 25 23 δὲ] καὶ E 26 αὐτὴ Val. Schmidt ad P. Alfonsi Disc. Cleric. p. 129 27 καὶ λέγει? Ebh. 28 ἐρωτομυραίῳ πλοκοσυνθέτῳ legere sibi visus est sive correxit Du Cange Gloss. s. v. πλοῦμος, Val. Schmidt ἐρωτομυριοπλοκοσυνθέτῳ, Boiss. ἐρωτομωραιοπλοκοσυνθέτῳ, Paulus Cassel (Mischlè Sindbad, Secundus-Syntipas, p. 410) ἐρωτομωρίᾳ πλοκοσυνθέτῳ ib. καθαγαπημένῳ, πλουμισμένῃ Du Cange, ποθαγαπημενοπλουμισμένῃ Boiss. 29 γλαυκοφθαλμοβαπτόχειλε EF. Eberhardo «ante φρυδο nomen adiectivum videtur excidisse» 30 καί τις Val. Schmidt 31 ἐκείνη F

δίας, καὶ εὐθὺς ἡ θυγάτηρ μου εἰς κύνα, οἴμοι, μετεμορφώθη, ἥτις αὕτη ἡ δακρύουσα κύων ἐστὶν, ὡς ὁρᾷς· ὁσάκις γὰρ τῆς οἰκίας ἐξέρχομαι, οὕτω πικρῶς ὀλοφυρομένη κατόπιν μου βαδίζει. ταῦτα τῆς γραίδος ἐκείνης μετὰ δακρύων πρὸς τὴν κόρην εἰπούσης ἐκείνη καταπλαγεῖσα ἐφ' οἷς ἠκηκόει τε καὶ ἑωράκει παλλομένην ἔσχε τῷ φόβῳ καὶ ἄττουσαν τὴν καρδίαν, καὶ τῇ γραΐδι ἔφη· δέος λοιπὸν, ὦ γύναι, κἀμοὶ ἐπεισέρχεται· νέος γάρ τις με προκύπτουσαν θεασάμενος ἑάλω μου τῇ θέᾳ, καὶ πρὸς συνουσίαν με τοῦ τοιούτου βιασαμένου ἔγωγε τοῦτον μετὰ θυμοῦ ἀπεσεισάμην· καὶ νῦν ταῦτά σου ὁμιλησάσης μοι δέδοικα μὴ καὶ αὐτὴ ἐκείνου μοι ἐπαρασαμένου τῷ αὐτῷ πάθει περιπετὴς γένωμαι. ἀλλά γε λοιπὸν ἀναστᾶσα ἄπιθι καὶ ἀναζήτησον τὸν νεανίσκον ἐκεῖνον καὶ εὑροῦσα μέχρις ἐμοῦ ἄγαγε, καί σοι φιλότιμον τὴν δεξίωσιν ποιήσωμαι. ἡ δὲ μηχανικωτάτη ἐκείνη γραῦς, ἐγὼ, φησὶν, ἀπελθοῦσα τὸν νεανίσκον ἐκεῖνον τὸ τάχος ἀγάγω σοι· πλὴν σὺ ἐν τῷ μεταξὺ σαυτὴν κατακόσμησον. ἡ δέ γε κόρη εὐθὺς ἐγερθεῖσα
A f. 275 ἑαυτήν τε ἀγλαομόρφῳ στολῇ κατελάμ|πρυνε καὶ τὴν οἰκίαν περιεκάθηρέ τε καὶ κατεκάλλυνε καὶ τὰς ἐν αὐτῇ στρωμνὰς κοσμίως κατέταξεν, εἶτα καὶ δεῖπνον πολυτελῆ παρητοίμασεν. ἡ δέ γε προαγωγὸς ἐξελθοῦσα εἰς τὴν τοῦ ἐραστοῦ ἀναζήτησιν ἐκεῖνον μὲν ἐφευρεῖν οὐκ ἠδυνήθη, συλλογισαμένη δὲ καθ' ἑαυτὴν
B f. 78 ἔφησεν ὡς· ἡ νεᾶνις ἐκείνη δωρεαῖς φιλοτίμοις ὑπέσ|χετό με δεξιώσασθαι· λοιπὸν οὖν ἕτερόν τινα νεανίσκον εὑρήσω καὶ πρὸς αὐτὴν ἀπάξω. περιερχομένη δὲ ἐντυγχάνει τῷ τῆς γυναικὸς ἀνδρὶ, καὶ πρὸς αὐτὸν, ἀκολούθει μοι, ἔφη μὴ εἰδυῖα

RETRACTATIO.

πολυπόνου καρδίας, καὶ εὐθὺς εἰς κύνα, οἴμοι, μετεβλήθη. καὶ ὁσάκις βουληθῶ ἐξελθεῖν τῆς οἰκίας, οὕτω πικρῶς κλαίουσα ὀπίσω μου ἀκολουθεῖ. ταῦτα τῆς μαστροποῦ μετὰ δακρύων εἰπούσης ἡ κόρη καταπλαγεῖσα ἐφ' οἷς ἤκουσε καὶ ἑώρακε, φόβῳ συλληφθεῖσα τὴν καρδίαν εἶχε πηδῶσαν καὶ πρὸς τὴν γραῦν ἔλεγε· φόβος μοι πολὺς προσ-
p. 54 εγένετο ἀπὸ τῆς σῆς διηγήσεως· νεανίας | γάρ τις ἰδών με παρακύψασαν ἐκ τοῦ παραθυρίου ἐκρατήθη τῷ ἐμῷ ἔρωτι, καὶ πρὸς συνουσίαν ἀναγκασθεῖσα οὐκ ἤκουσα· διὸ φοβοῦμαι μή ποτε πάθω καθὼς πέπονθεν ἡ θυγάτηρ σου ἀπὸ κατάρας ἐκείνου. καὶ τὸ λοιπὸν ἀναστᾶσα πορεύου καὶ εὑροῦσα τοῦτον ὡς ἐμὲ ὁδήγησον, καὶ ἐγώ σε φιλοτίμως ἀμείψομαι. ἡ δὲ γραῦς ἀπεκρίνατο· ἐγὼ κατὰ τὸ σὸν θέλημα τοῦτον εὑροῦσα πρὸς σὲ φέρω, σὺ δ' ἀναστᾶσα κατακόσμησον τὴν οἰκίαν σου καὶ τὸ πρόσωπόν σου ἅμα τῷ σώματι μύροις νίψον. καὶ ἡ κόρη ἀναστᾶσα ἐν τῇ ἑαυτῆς στρωμνῇ κοσμίως διετέθη καὶ δεῖπνον πολυτελῆ προητοίμασεν. ἡ δέ γε μαστροπὸς τὸν νέον ἐκεῖνον ζητήσασα οὐχ εὗρεν, ἕτερον δὲ νέον ἀντ' ἐκείνου εὑροῦσα, ἀκολούθει μοι, ἔφη. τούτου δὲ

---

1 οἴμμοι A 3 ἐκείνος A 4 ἀκηκόετο τε B 6 εἰσέρχεται B 7 τῇ] τὴν καρδίαν B pr. ib. τοιοῦτου βϊάσάμενος A, τοιούτου βιασάμενος B 8 ἀπεσησάμην A, ἀποσιράμην B ib. μοι] με B ib. δέδοικά μοι A 9 αὐτῇ A, αὔτη B ib. ἐπαρρασαμένου A 10 ἀναστὰς A 11 μιχανικῶτάτη A 14 κατὰλάμπρυνε A ib. περιεκάθηρέν τε B 15 κατεκάλυνε A, κατελάμπρυνε B 17 ἠδυνήθην B 19 ἕτερόν τι A, τινα B 20 εἰδυΐα A 23 sq. συληφθεῖσα F, ληφθῆσα D 32 παρητοίμασεν? Ebh. ib. μαστρωπὸς DF

πάντως ὡς ὁ ἀνὴρ ἐκείνης ἐστί, καὶ ἀποφέρω σε, φησίν, εἰς οἰκίσκον λίαν εὐκοσμότατον, ἐν ᾧ τις γυνὴ προσκάθηται περικαλλὴς σφόδρα καὶ ὡραιοτάτη καί σοι τῷ ὄντι εἰς συνουσίαν ἐφαρμόττουσα. ὁ δὲ ἀνὴρ τούτοις τοῖς λόγοις τῆς προαγωγοῦ καταθελχθείς, πορεύου μου ἔμπροσθεν, ἔφη. αὐτῆς δὲ τούτου προπορευομένης κἀκείνου συνεπομένου αὐτῇ παραγίνονται πρὸς τὴν τοῦ ἀνδρὸς οἰκίαν. ὁ δὲ τὸν ἑαυτοῦ οἶκον ἑωρακὼς καὶ ὅτι πρὸς ἐκεῖνον ἡ γραῦς αὐτὸν ἐκάλει συνεχύθη τῇ λύπῃ καὶ καθ' ἑαυτὸν ἔλεγεν· ἔοικεν ὄντως ὅτι τοιαῦτα ἡ σύζυγός μου διεπράττετο ἐξότου αὐτῆς ἀπεδήμησα. εἰσαγαγοῦσα δὲ αὐτὸν ἡ προαγωγὸς καθεσθῆναι ἐπὶ τῆς αὐτοῦ συνήθους κλίνης πεποίηκε. θεασαμένη δὲ ἡ γυνὴ ὡς ὁ αὐτῆς γε ἀνὴρ ἐκεῖνος ἐτύγχανεν εὐμηχάνῳ τινὶ πρὸς αὐτὸν τῇ πανουργίᾳ ἐχρήσατο, καὶ εὐθὺς ἀναστᾶσα χεῖρας τῷ ἀνδρὶ ἐπέβαλεν καὶ τῆς αὐτοῦ γενειάδος ἀναιδῶς ἐφαψαμένη πλήττει αὐτοῦ τὴν ὄψιν καὶ σὺν δάκρυσιν ἐβόησε λέγουσα· ὦ ἀκόλαστε καὶ διεφθαρμένε, αὗται ἡμῶν αἱ πρὸς ἀλλήλους συνθῆκαι τυγχάνουσιν, οὗτοι οἱ ἔνορκοι δεσμοί; οὐ σωφρονεῖν ἐπηγγείλω μοι μέχρι τῆς οἴκαδε ἀνακάμψεως; ἵνα καὶ τί λοιπὸν παρ' οὐδὲν πάντα θέμενος εἰς ζήτησιν μᾶλλον ἐξῆλθες τῆς προαγωγοῦ ταύτης; ὁ δὲ ἀνὴρ ἔκθαμβος λίαν γεγονὼς ἐπὶ τῇ τοῦ γυναίου τοσαύτῃ ἀναιδείᾳ καὶ ἀθρόᾳ ἰταμότητι, καὶ τί τὸ συμβεβηκὸς

RETRACTATIO.

ἐρωτήσαντος· ποῦ ἀπάγεις με; ἡ γραῦς ἔφη· φέρω σε, ὦ νεανία, εἰς οἶκον κοσμιώτατον πάνυ, ἐν ᾧ καὶ ὡραιοτάτη καὶ περικαλλὴς κάθηται, δρόσον ἀποστάζουσα τῇ ὀσμῇ
καὶ|κατὰ ἀλήθειάν σοι ἁρμοδία πρὸς συνουσίαν. ὁ δὲ ἀνὴρ τοῖς λόγοις τῆς γραὸς καθ- p. 55
ελχθείς· πορεύου ἔμπροσθέν μου. κἀκείνης ἔμπροσθεν καὶ τούτου ὄπισθεν, εἰσῆλθον εἰς τὴν οἰκίαν. ὁ δὲ ἀνὴρ τὸν ἑαυτοῦ οἶκον ἑωρακὼς συνεταράχθη τῇ λύπῃ καὶ καθ' ἑαυτὸν ἔλεγεν ὡς· ἔοικε κατὰ ἀλήθειαν ὅτι αὐτὰ διέπραττεν ἡ σύζυγός μου ἀφ' οὗ ἐγὼ τῶν ὧδε ἐξῆλθον. εἰσαγαγοῦσα δὲ αὐτὸν ἡ προαγωγὸς ἐπὶ τῆς συνήθους κλίνης καθεσθῆναι πεποίηκεν. θεασαμένη δὲ ἡ γυνὴ ὅτι ὁ ἀνὴρ αὐτῆς ἐστιν, εὐτέχνῳ τινὶ πανουργίᾳ ἐνήργησε, καὶ εὐθὺς ἀναστᾶσα χεῖρας ἐπέβαλε τῷ ἀνδρὶ καὶ τῆς αὐτοῦ γενειάδος ἀναιδῶς ἁψαμένη πλήττει αὐτοῦ τὴν ὄψιν καὶ σὺν δάκρυσιν ἐβόησε λέγουσα· ὦ ἀκόλαστε καὶ διεφθαρμένε, αὗται ἡμῶν αἱ πρὸς ἀλλήλους συνθῆκαι τυγχάνουσι, οὗτοι οἱ μεθ' ὅρκου δεσμοί; οὐ σωφρονεῖν ἐπηγγείλω μοι μέχρι τοῦ ἐπαναστρέψαι σε
εἰς τὸν οἶκον; ἵνα τί λοιπὸν εἰς οὐδὲν ταῦτα θέμενος εἰς θέλημα|καὶ λόγους ἦλθες τῆς p. 56
γραὸς ταύτης; ὁ δὲ ἀνὴρ ἐκπλαγεὶς σφόδρα ἐπὶ τῇ τοῦ γυναίου τοσαύτῃ διανοίᾳ καὶ αἰφνιδίῳ ἀναισχυντίᾳ, καὶ τί ἦν τὸ ζήτημα ὃ σήμερον συνέβη σοι, ἔφη, γύναι; αὕτη

---

1 ὧς ἐχείνης ἀνὴρ ἐστὶν B 2 περΐχαλῆς A, προσχαλὶς B 3 ἐφαρμότουσα A 4 προάγώγου A 6 τὸν αὐτοῦ B ib. γραΐς (= γραὶς?) A 7 ἑαυτὴν ἔλεγε B 7 sq. τοιαῦτα ἡ σ. μ. A, ἡ σ. μ. τοιαῦτα B 8 ἐξότοῦ A, ἐξ οὗ τοῦ B ib. αὐτῆς] αὐτός? 10 ὁ αὐτός (ο ex η) γε ὁ ἀνὴρ B ib. ἐχεῖ A ib. ἐτύχανε B ib. εὐμοχάνω A 11 sq. γενείαδος A, γενιάδος B 14 τωγχάνουσιν A 15 καὶ om. B 17 ἀναιδεία A, διανοία B 19 καὶ ὡραιοτάτη] «videtur deesse γυνή τις» Boiss. ib. περιχαλὶς F 20 sq. καταθελχθεὶς Val. Schmidt 21 post πορεύου inserendum esse ἔφη ci. Ebh., idem post ἔμπροσθεν inseruit πορευομένης 23 ἔλεγε DF ib. αὐτᾶ D, τοιαῦτα ci. Boiss. 26 ἐπέβαλλε F corr. ead. m. 32 ὅ] τὸ D

αἰτίαμα πέφυκε; πρὸς τὴν σύζυγον ἀπεκρίνατο. ἡ δέ, σήμερον, φησίν, ἠκηκόειν τῆς ὁδοῦ σε καταλαμβάνειν καὶ σοῦ τῆς πρός με διαθέσεως ἐποιησάμην ἀπόπειραν, εἰ ἄρα τετήρηκας τὰς συνθήκας ἀπαραβάτους, καὶ τὴν οἰκίαν σαρώσασα A f. 276 καὶ | ἐμαυτὴν κοσμίως στολίσασα προσποιητῶς ταυτηνὶ τὴν γραΐδα πρός σε ἔστειλα, ὥστε δι' αὐτῆς δοκιμάσαι τὴν τῆς γνώμης σου ἔκβασιν καὶ εἴπερ πρός με σωφροσύνην συνετήρησας ἢ τοὐναντίον δι' ἀκολάστου πράξεως τὴν ἐμὴν κοίτην διέφθειρας, καὶ ἰδού σε δολιόφρονα καὶ ἀκόλαστον εὕρηκα καὶ τῶν ἐνόρκων συνθηκῶν ἀναμφίλεκτον ὑπερόπτην. λοιπὸν γοῦν οὐκέτι σοι φιλιάζουσαν ἕξεις ἐμὲ τὴν ὁμόζυγον, οὐδεπώποτε, δόλιε, διαλλαγήσομαί σοι. ὁ δὲ ἀνὴρ ἔφη πρὸς αὐτήν· ἐγὼ μᾶλλον, ὦ γύναι, τἀναντία δὴ ταῦτα κατὰ σοῦ ὑπόπτευον καὶ ὅτι μεθ' ἑτέρων τοιαῦτα εἶ ἀκολασταίνουσα· ἐπεὶ δὲ οὕτως, ὡς ἔφης, ἔχειν σε δυισχυρίζει, δῆλά σοι καὶ τὰ κατ' ἐμὲ παριστῶ, ὡς τῇ γραΐδι ταύτῃ τούτου χάB f. 79 ριν ἠκολούθηκα, | ἐφ' ᾧ πρὸς τὴν ἐμὴν με προσεκαλεῖτο οἰκίαν· εἰ γὰρ πρὸς ἕτερόν τι μέρος ἀπάγειν με ἐπεχείρησεν, οὐδὲ προσεσχηκέναι τῷ λόγῳ αὐτῆς ἠνεσχόμην ἂν τὸ σύνολον. ἡ δὲ γυνὴ ὥσπερ τοῖς ῥηθεῖσι διαπιστοῦσα καὶ σφοδροτέρῳ δῆθεν τῷ θυμῷ κατ' αὐτοῦ φερομένη καὶ ἑαυτῆς πλήττει τὴν ὄψιν τήν τε στολὴν διαρρήξασα πάλιν αὐτοῦ κατεκραύγαζε λέγουσα· ὦ δολίων ἀνδρῶν δολιώτερε καὶ σκολιῶν σκολιώτερε, ὁ κατ' ἐμοῦ δολερᾷ τῇ γνώμῃ χρη-

RETRACTATIO.

ἀπεκρίνατο· ἐγὼ σήμερον ἠκηκόειν καταλαβεῖν σε τὰς θύρας τοῦ κάστρου, καὶ δοκιμὴν βουληθεῖσα ποιήσασθαι τῆς πρὸς ἐμέ σου ἀγάπης καὶ ὑποσχέσεως, τὴν οἰκίαν σκοπίσασα καὶ ἐμαυτὴν κοσμήσασα προσποιητῶς ταύτην τὴν γραῦν πρὸς σὲ ἔπεμψα, ἵνα δι' αὐτῆς δοκιμάσω σου τὴν τῆς γνώμης σου βούλησιν καὶ ἐάνπερ σωφροσύνην ἐτήρησας, καὶ ἰδοὺ ἐν γνώσει κακὰ ἔχοντα εἶδόν σε καὶ τῶν ἐνόρκων συνθηκῶν καταφρονητήν. λοιπὸν οὐκ ἔτι ἔσομαι μετὰ σοῦ εἰς γυναῖκα, ἀλλ' οὐδέποτε φιλίαν ἢ ἀγάπην ἕξω πρὸς σὲ καθαράν. ὁ δὲ ἀνὴρ ὁ μάταιος ἔφη πρὸς αὐτήν· ὦ γύναι, ἐγὼ μᾶλλον κατὰ σοῦ ὑποψίαν εἶχον καὶ τὰ ἐναντία ὑπενόουν, καὶ ὡς εἶδόν σε οὕτως κεκαλp. 57 λωπισμένην καὶ πρὸς μίξιν ἑτοί|μον, τοιαῦτα ἐνόμισα καὶ μετὰ ἑτέρων ἀνδρῶν ἐνεργεῖν σε· ἐπεὶ δέ, ὡς λέγεις, χάριν δοκιμῆς ἐπ' ἐμὲ ταῦτα ἐποίησας, φανεράν σοι ποιήσω καὶ τὴν ἐμὴν γνώμην· ἐγὼ τούτου χάριν ἠκολούθησα τῇ γραΐδι, τοῦ ἰδεῖν εἰ πρὸς τὴν ἐμὴν προσκαλεῖται οἰκίαν· εἰ γὰρ εἰς ἄλλην τινὰ οἰκίαν ἢ γυναῖκα ἔλεγέ μοι ἀπιέναι, οὐκ ἂν ὑπέμενον κἂν ἀκοῇ τὸν λόγον ἀκοῦσαι. ἡ δὲ γυνὴ σχηματοποιήσασα ὡς μὴ τοῖς λεγομένοις δῆθεν πιστεύουσα καὶ ἰσχυροτέρως τῇ λύπῃ καταφερομένη, ἤρξατο τύπτειν τὸ πρόσωπον καὶ τὰ ἱμάτια σχίζειν καὶ βοᾶν ὡς· οὐκ ἔτι τοῖς ὅρκοις πιστεύσω, ἐπεὶ μηδεμία ἐστὶν ἐν αὐτοῖς ἀλήθεια. ταῦτα πρὸς τὸν ἄνδρα ποιήσασα ἀρκετὸν και-

---

1 ἀιτίαμα A, αἴτημα B 4 ταύτηνίτῆν γραΐδα προσὲ A 5 ὡς εἴτε δι' A 6 συνετήρισας A, τετήρηκας B 7 δολόφρονα A 8 σύνθήκων B ib. ἀναφύλεκτον A, ἀνεφύλακτον B ib. λοπὸν A 9 οὔδεπόποτε A, οὐδέποτε B 10 ἔγωγε B ib. τοὐναντίον? 11 sq. ὡς ἔφης ἔχειν σε δυισχυρίζειν B, ὡς ἔχεις ἔφην σε διῆσχειρίζει A 12 καταμὲ A 13 ἐμῆν με A, ἐμὴν B ib. πρὸς om. B 14 ἐπαγαγεῖν με ἐπέχρησεν B ib. οὔδε προεσχικέναι A 15 τῇ | ριθῆσει A 15 sq. σφοτέρω B. metaphrasta nescio an σφοδροτέρως legerit 16 πλήττει] τύπτει B 17–43,1 λέγουσα— τοῖς om. B 22 σου alterutrum delendum censebat et prius seclusit Ebh. 23 ἐνόρκω D 27 ἐνομίσασα F 34 μὴ δὲ μία F

σάμενος, οὐκέτι σου τοῖς ὅρκοις πεποιθῶσα ἔσομαι, ὅτιπερ αὐτοῖς οὐδεμία πρόσεστιν ἀλήθεια. ταῦτα πρὸς τὸν ἄνδρα διαπραξαμένη ἐπὶ χρόνον ἱκανὸν αὐτῷ δῆθεν ἀπεχθάνετο καὶ οὐ πρότερον αὐτῷ διηλλάγη, ἄχρις ὅτου ἐκεῖνος πολυτελῆ αὐτῇ κόσμον κατεσκεύασεν χρυσοῦ ἅμα καὶ ὑφάσματος. καὶ νῦν, ὦ δέσποτα βασιλεῦ, ἀπὸ ταύτης δὴ γνῶθι τῆς διηγήσεως ὡς οὐδεὶς τῶν ἀνθρώπων ταῖς τῶν γυναικῶν μηχανουργίαις ἀντικαθίστασθαι δύναται. τούτων παρὰ τοῦ τετάρτου καὶ σοφωτάτου συμβούλου ὁ βασιλεὺς ἀκροασάμενος κελεύει τὸν υἱὸν αὐτοῦ μηδαμῶς ἀποκτανθῆναι. /

Ἡ δέ γε αὐτοῦ μιαρωτάτη παλλακὴ τῆς ἐπὶ τῷ υἱῷ ἀναβολῆς τοῦ βασιλέως αἰσθομένη παρέστη αὐτῷ κατὰ τὴν προρρηθεῖσαν τετάρτην ἡμέραν ἀπόδεσμόν τινα τῇ χειρὶ κατέχουσα, καὶ φησὶν πρὸς αὐτόν· ἰδού, βασιλεῦ, φάρμακον δηλητήριον, ὡς ὁρᾷς, ἐπιφέρομαι, καί σοι τὸν ζῶντα θεὸν ἐπόμνυμι ὡς εἰ μὴ ἀπὸ τοῦ σοῦ παιδὸς θᾶττον ἐκδικήσεις με καὶ ξίφει αὐτὸν ἀναλώσεις, ὅτι ἐνυβρίσαι μοι ἀναιδῶς ἐπειρᾶτο σώφρονί τε οὔσῃ καὶ σωφρόνων τῶν γεννητόρων, ἐξ αὐτοῦ δὴ τοῦ δηλητηρίου ἀνυπερθέτως πίομαι καὶ βιαίως τῆς ζωῆς ἀπορραγήσομαι καὶ ἔσται σοι θεόθεν τῆς ἀπωλείας μου ἕνεκεν ἀσύγγνωστος ἡ κατάκρισις. οὐδὲν δὲ τὸ παράπαν οἱ σοφοὶ οὗτοι σύμβουλοί σε ὠφελήσουσιν, ἀλλὰ μᾶλλον

RETRACTATIO.

ρὸν προσποιητῶς τοῦτον ἐμνησικάκει μὴ λαλῆσαι αὐτὸν καὶ οὐ πρότερον ἀγάπην τούτῳ πεποίηκεν, ἄχρις οὗ ἐκεῖνος πολλὴν ἔξοδον καλλωπισμοῦ ἐκ χρυσοῦ ταύτῃ ἐχαρίσατο, ἅμα δὲ καὶ ἱμάτια. καὶ νῦν, ὦ βασιλεῦ, ἀπὸ ταύτης γνῶθι | τῆς διηγήσεως ὡς p. 58
οὐδὲν τῶν ἀνθρώπων πρὸς τὰς τῶν γυναικῶν μηχανουργίας δύναται μαχέσασθαι. οὕτω παρὰ τοῦ τετάρτου συμβούλου ὁ βασιλεὺς ἀκροασάμενος κελεύει τὸν υἱὸν αὐτοῦ μὴ ἀποκτανθῆναι. /

Ἡ δὲ μαινὰς ἐκείνη τοῦ βασιλέως παλλακὴ νοήσασα τὴν τοῦ βασιλέως ἀναβολήν, ἣν περὶ τὸν ἄδικον φόνον τοῦ υἱοῦ αὐτοῦ ἀναβάλλεται, κατὰ τὴν τετάρτην ἡμέραν παρέστη τῷ βασιλεῖ κρατοῦσα ἐν ταῖν χεροῖν δεσμόν τινα βοτανῶν, καὶ λέγει αὐτῷ· ἰδού, βασιλεῦ, φάρμακον δηλητήριον ἐπιφέρομαι, καί σοι ζῶντα θεὸν ἐπόμνυμι ὡς μὴ ἀπὸ τοῦ σοῦ παιδὸς ἐκδικήσεις με καὶ ξίφει αὐτὸν ἀναλώσεις, ὅτι με ὕβρισεν ἀναισχύντως σώφρονι οὔσῃ κἀκ σωφρόνων γονέων, ἐξ αὐτοῦ τοῦ βλαπτικοῦ καὶ θανατηφόρου φαρμάκου πίομαι καὶ βιαίως τῆς ψυχῆς ἀποχωρισθήσομαι καὶ ἔσται σοι θεόθεν τῆς ἀπωλείας μου ἕνεκα ἀσυγχώρητος ἡ κατάκρισις. πόθεν δὲ οὗτοι οἱ σοφοί σου σύμ|βουλοι ὠφελῆσαί σε δυνήσονται; ἀλλὰ μᾶλλον, νομίζω, συμβήσεταί σοι ὑπ' αὐτῶν p. 59

---

1 ἑαυτοῖς οὐδὲ μία B 4 αὐτὴν B ib. κατεσκεύασε χρυσοῦν B 6 μϊχανουργίας A ib. ἀντικαθίσταται B 9 in marg. m. rec.: ἡ γυνή A ib. μιάροτάτη παλακὴ A, μιαρο^τ πα-λακὶς B 10 προρηθεῖσαν B. apud Syrum diei nulla significatio 12 v. και in A finitur fol. 276, proximi duo quaterniones perierunt. quam ob rem ea quae sequuntur usque ad priorem sexti philosophi narrationem mediam, unde orditur cod. C, unius B codicis fide nituntur 13 θᾶττον] θάνατον (cf. p. 19,7. 32,5) 15 sq. ἀποραγήσωμαι 16 ἀσύγνωστος 17 οὐδὲν] ὅθεν, quod aliter correxit metaphrasta 18 λαλήσασα Ebh. 21 οὐδὲν] «exspectabam οὐδείς» Boiss. 22 οὕτω ex τούτων ortum videtur propter rubricatoris alicuius neglegentiam, quemadmodum 24 in F ex Ἡ δὲ factum est δὲ 24 παλακὴ F 28 post ὡς Boiss. inseruit εἰ ib. ὅτι ὕβρισεν EF, ὅτι μοι ὕβρισεν ci. Boiss., ὅτι ἐνύβισεν Ebh.

συμβήσεταί σοι ὑπ᾽ αὐτῶν ὥσπερ καί τινι τῶν χοίρων ἐπισυμβέβηκεν. ἔθος γὰρ ἦν ἐκείνῳ ἐπί τινα συκῆν παραγίνεσθαι καὶ τὰ τοῦ δένδρου ἀποπίπτοντα σῦκα ἑκάστοτε ἐσθίειν. μιᾷ γοῦν τῶν ἡμερῶν παρ᾽ αὐτὴν ἀφίκετο κατὰ τὸ αὐτοῦ σύνηθες καί τινα ὁρᾷ πίθηκα τῇ συκῇ ἐπαναβάντα καὶ ἐκ τῶν σύκων ἐσθίοντα. ὁ δέ γε πίθηξ τὸν χοῖρον ἑωρακὼς ῥίπτει αὐτῷ ἓν σῦκον ἄνωθεν, ὅπερ ὁ χοῖρος τῶν πιπτόντων ἡδύτερον τυγχάνον ἡδέως καὶ ἤσθιε. καὶ τούτου χάριν ἕτερον σῦκον ῥιφθῆναι παρὰ τοῦ πίθηκος ἐξεδέχετο. ἐκείνου δὲ οὐδὲν ἔτι τῷ χοίρῳ προσρίπτοντος ἵστατο οὗτος κάτωθεν ἐκτεταμένον κεκτημένος τὸν τράχηλον καὶ πρὸς τὸν πίθηκα ἀδιακόπως ἠτένιζεν. ἐπὶ πολὺ δὲ αὐτοῦ ἄνω τοὺς ὀφθαλμοὺς ἀνατείνοντος αἱ τοῦ τραχήλου αὐτοῦ φλέβες ἀπεψύγησαν, καὶ παραχρῆμα ὁ χοῖρος τῆς ζωῆς ἀπερράγη. τούτων ὁ Κῦρος παρὰ τῆς γυναικὸς ἀκούσας καὶ δεδιὼς μήπως ἑαυτὴν τῷ δηλητηρίῳ κτείνῃ φαρμάκῳ καὶ αὐτὸς ἀποδειχθῇ τοῦ θανάτου αὐτῆς αἴτιος, κελεύει αὖθις τὸν υἱὸν ξίφει ἀναλωθῆναι.

B f. 80 Τῆς | τοιαύτης οὖν ἀποφάσεως αὖθις ἐξενεχθείσης εἰσέρχεται πρὸς τὸν βασιλέα κατὰ τὴν πέμπτην ἡμέραν ὁ πέμπτος αὐτοῦ φιλοσοφώτατος σύμβουλος καὶ τὴν συνήθη αὐτῷ ἀπονείμας προσκύνησιν, δέσποτα, φησίν, βασιλεῦ, ζῴης εἰς τὸν αἰῶνα. ἐπίσταμαι σὺν ἀκριβείᾳ ὡς ἀνάπλεως σοφίας καὶ συνέσεως πέφυ-

RETRACTATIO.

ὥσπερ καί τινι τῶν χοίρων ἐγένετο. συνήθως γὰρ εἶχεν ἐκεῖνος ὁ χοῖρος ἐπί τινα συκῆν δένδρον πορεύεσθαι καὶ τὰ ἀποπίπτοντα ἐκ τοῦ δένδρου σῦκα ἐσθίειν. καὶ μιᾷ τῶν ἡμερῶν κατὰ τὸ εἰθισμένον πορευθεὶς πρὸς τὴν συκῆν ὁρᾷ τινα πίθηκα κατὰ τῆς συκῆς ἐπαναβάντα καὶ τὰ σῦκα ἐσθίοντα. ὁ δέ γε πίθηξ τὸν χοῖρον θεασάμενος ῥίπτει αὐτὸν κάτωθεν σῦκον, ὅπερ φαγὼν ὁ χοῖρος γλυκύτερον τῶν ἄλλων τῶν κάτω πιπτόντων σύκων κατέφαγε, καὶ πάλιν ἄλλον σῦκον ἐκ τοῦ πίθηκος καταλαβεῖν ἤλπιζεν. ὡς δ᾽ ὁ πίθηξ ἄλλο σῦκον οὐκ ἔρριψεν, ἵσατο κάτωθεν ὁ χοῖρος ἐκτεταμένον ἔχων ἄνω τὸν τράχηλον καὶ βλέπων ἀδιαλείπτως τὸν πίθηκα. ἐπὶ πολὺ δὲ τοῦ χοίρου ἄνω τοὺς ὀφθαλμοὺς ἔχοντος αἱ τοῦ τραχήλου αὐτοῦ φλέβες ἀπεψύγησαν, καὶ
p. 60 παρευθὺς ὁ χοῖρος τῆς ζωῆς ἀπερράγη. τούτων ὁ Κῦρος παρὰ τῆς γυναικὸς ἀκού|σας καὶ φοβηθεὶς μή πως ἑαυτὴν τῷ βλαβερῷ ἐκείνῳ κτείνῃ φαρμάκῳ καὶ αὐτὸς αἰτία φανήσεται τοῦ θανάτου αὐτῆς, κελεύει πάλιν τὸν υἱὸν ἀναιρεθῆναι.

Τότε ὁ πέμπτος σύμβουλος καὶ φιλόσοφος κατὰ τὴν πέμπτην ἡμέραν εἴσεισι πρὸς τὸν βασιλέα, καὶ συνήθως αὐτὸν προσκυνήσας φησί· ζώοις εἰς τὸν αἰῶνα, βασιλεῦ. ἀκριβῶς γινώσκω σε, βασιλεῦ, ὡς ἄκρως τῇ γνώσει καὶ τῇ σοφίᾳ καὶ τῇ παιδεύσει γεγένησαι· ἵνα τί τοίνυν ὁ οὕτω συνέσεως ἔχων ἀσυλλόγιστον ἀποφαίνῃ τὴν καταδίκην,

---

1 συμβήσηταί 2 καὶ τὰ] κατὰ 5 αὐτῷ ἓν] αὐτὸν 7 δὲ addidi 9 ἀδιακόπτως 10 ἀπεψίγησαν 11 κύρος 18 lemma: πέμπτον (πά i. e. πάλιν F; λ supra πά) παράδειγμα τῆς γυναικός ib. συνήθειαν F 18 sq. et 20 συκὴν, 19 et 21 σύκα F (neque differt B, qui etiam 6 σύκον habet) 19 δένδρον seclusit Ebh., item 20 alterum κατὰ 22 κάτωθεν] κάτω ἓν Ebh. 23 κατέφαγε] κατεφάνη Ebh. ib. λαβεῖν D 24 ἄλλον F ib. ἴσα τό D, ἴσα τὸ F, ἰσατὸ E, ἵστατο Boiss., εἵσατο Bursian 26 ἀπεψίγησαν F 28 αἴτιος? Ebh. 30 lemma: πέμπτος φιλόσοφος DE 31 ζῴης Ebh. 32 ἀκριβῶς — βασιλεῦ om. F ib. ἄκρος Boiss.

κας· ἵνα τί τοίνυν ὁ ἀγχινοίᾳ κατάκομος οὕτως ἀσυλλόγιστον ἀποφαίνῃ τὴν καταδίκην καὶ μὴ πρότερον συζητεῖς καὶ ἐρευνᾷς τὸ προκείμενον; ἀλλ᾽ ὅμως ἄκουσόν μου τῆς παρούσης διηγήσεως. ἦν γάρ τις στρατιώτης ἀνήρ, ὃς τῷ βασιλεῖ καὶ τοῖς ὑπ᾽ αὐτῷ μεγιστᾶσι τῆς οἰκείας ἕνεκεν ᾠκείωτο γενναιότητος. κύνα δέ τινα ὁ τοιοῦτος ἐκέκτητο ἀπ᾽ αὐτῆς τε τῆς γεννήσεως παρ᾽ αὐτοῦ ἀνατραφέντα καὶ τὰ παρ᾽ αὐτοῦ τούτῳ ἐπιταττόμενα ὥσπερ τις τῶν λογικῶν πράττοντα· ὅθεν καὶ προσπαθῶς ὁ στρατιώτης περιεῖπε τὸ κυνάριον. ἐν μιᾷ γοῦν ἡ τοῦ ἀνδρὸς σύζυγος πρὸς τοὺς ἑαυτῆς ἀπῄει γεννήτορας, καὶ τὸν ἑαυτῆς νηπιάζοντα παῖδα παρὰ τῷ πατρὶ λιποῦσα ἀκριβῶς αὐτῷ προσέχειν τῷ ἀνδρὶ παρήγγειλεν· ἐγὼ γάρ, φησίν, οὐ χρονίσω τοῦ ἐπανελθεῖν. καὶ ταῦτα εἰποῦσα κεκοίμηκεν τὸ παιδίον πρότερον καὶ εἰθούτως ἐκεῖθεν ὑπανεχώρησεν. τοῦ δέ γε ἀνδρὸς τῇ οἰκίᾳ προσκαρτεροῦντος καὶ τοῦ παιδίου ὑπνώσαντος ἀθρόον τις τῶν τοῦ βασιλέως παρεγένετο δορυφόρων. καὶ τὴν θύραν τοῦ τοιούτου κρούσαντος ἐξῆλθεν ὁ στρατιώτης θεασόμενος τὸν κρούσαντα. ἑωρακὼς δὲ αὐτὸν ἐκεῖνος, ὁ βασιλεὺς καλεῖ σε, πρὸς αὐτὸν εἴρηκεν. ὁ δὲ στρατιώτης ἅμα τῷ λόγῳ τὰ ἑαυτοῦ στρατιωτικὰ περιβάλλεται ἄμφια, καὶ τὴν σπάθην ἀράμενος καὶ τῷ δορυφόρῳ μέλλων ἀκολουθῆσαι προσκαλεῖται τὸν κύνα καὶ παραγγέλλει αὐτῷ τά τε ἐκεῖσε καὶ τὸ παιδίον τηρεῖν, τοῦ μηδένα, φησίν, τὸ παράπαν προσπελάσαι τῷ οἰκήματι. ὁ μὲν οὖν στρατιώτης τῷ κυνὶ ταύτῃ παραγγείλας πρὸς τὸ τοῦ βασιλέως ἀπῄει

RETRACTATIO.

εἰ μὴ πρότερον συζητεῖς καὶ ἐρευνᾷς τὴν ἀλήθειαν; ὅθεν καὶ ἄκουσόν μου τῆς διηγήσεως. ἦν γάρ τις στρατιώτης ἀνήρ, ὅστις τῷ βασιλεῖ καὶ τοῖς ὑπ᾽ αὐτὸν ἄρχουσιν ᾠκείωτο καὶ ἠγαπᾶτο γενναιότητος καὶ ἀνδρείας. ὁ δὲ τοιοῦτος στρατιώτης σκύλον ἀνέθρεψε μικρόθεν, καὶ ὅσα ἐνετείλετο τῷ σκυλακίῳ, ἐποίει ὡς λόγον ἔχων· ὅθεν καὶ μετὰ πολλῆς ἀγάπης ἔτρεφεν ὁ στρατιώτης τὸν κύνα. ἐν μιᾷ γοῦν | τῶν ἡμερῶν ἡ τοῦ p. 61 ἀνδρὸς σύζυγος πρὸς τοὺς ἑαυτῆς ἀπῆλθε γονεῖς, καὶ τὸ αὐτῆς νηπιάζον παιδίον ἀφῆκε τῷ πατρὶ αὐτοῦ παραγγείλας αὐτῷ περὶ τοῦ παιδίου ὥστε βλέπειν καὶ προσέχειν αὐτό· εἶπε γὰρ τῷ ἀνδρὶ ὅτι· οὐκ ἀργήσω, ἀλλὰ συντόμως ἐλεύσομαι. καὶ οὕτως εἰποῦσα τὸ παιδίον ἐκοίμησε καὶ ἀπῆλθε. τοῦ δὲ ἀνδρὸς τῇ οἰκίᾳ καθημένου καὶ τοῦ παιδίου κοιμωμένου ἐξαίφνης τις τῶν τοῦ βασιλέως εἰσῆλθε στρατιωτῶν. καὶ τὴν θύραν κρούσαντος ἐξελθὼν ὁ ἀνήρ, ἰδὼν τὸν παρὰ τοῦ βασιλέως πεμφθέντα λέγει αὐτῷ· τί σὺ θέλεις; ὁ δὲ λέγει· ὁ βασιλεὺς καλεῖ σε. καὶ ὁ στρατιώτης ἅμα τῷ λόγῳ τὰ στρατιωτικὰ ἐνεδύσατο ἅρματα, καὶ τὴν σπάθην ἀράμενος προσκαλεῖται τὸν σκύλον καὶ παραγγέλλει αὐτῷ φυλάσσειν τὸν οἶκον καὶ τὸ παιδίον, μηδένα ἐάσας εἰσελθεῖν εἰς τὸν οἶκον. ὁ μὲν οὖν στρατιώτης τὸν κύνα παραγγείλας ἀπῆλθε πρὸς τὸ παλάτιον. τοῦ δὲ σκύλου τῷ παιδὶ παρακαθημένου καὶ τοῦ παιδὸς κοιμω|μένου ὁρᾷ p. 62

---

1 κάκομος 5 τε] δὲ. an delendum? 6 τοῦτο ib. ὥσπέρ τινα 7 προπαθῶς 10 χρονήσω 11 εἶθ᾽ οὕτως 12 ἀθρῶον τίς 14 θεασάμενος 18 προσπελᾶσαι 19 ταῦτα?
20 εἰ] immo καὶ 21 lemma: διήγησις πέμπτου φιλοσόφου 22 vides non solum articulum (τῆς γενν. Ebh.) intercidisse 23 ἐνέτυλε τὸ σχυλαχίω D, ἐνέτειλε, τὸ σχυλάχιον Boiss. ib. ἔχον Boiss. 26 παραγχείλας D, παραγγείλασα Boiss. ib. αὐτῷ πολλὰ περὶ F 27 αὐτῷ? Ebh. 29 ἦλθε? Ebh.

παλάτιον. τοῦ δέ γε κυνὸς τῷ παιδὶ παρακαθημένου κἀκείνου ὕπνῳ κατεχομένου ὁρᾷ ὁ κύων ὄφιν τινὰ παμμεγέθη κατὰ τοῦ παιδὸς ἕρποντα καὶ αὐτῷ ἐκφυλάξαι σχεδὸν ἐπειγόμενον. αὐτίκα γοῦν ἐγερθεὶς πόλεμον πρὸς τὸν ὄφιν συνέστησεν καὶ καταδακὼν αὐτὸν παραχρῆμα νεκρὸν ἀπηργάσατο. κατ' αὐτὴν δὲ τὴν ὥραν ἐπανῆκεν ὁ στρατιώτης, καὶ τούτου εἰσερχομένου ὁ κύων αὐτῷ χαριέντως προσαπήντησεν. θεασάμενος δὲ ἐκεῖνος αἵματι τὸ τοῦ κυνὸς στόμα λελυθρωμένον ἐδόκει περὶ αὐτοῦ ὡς τὸν παῖδα βέβρωκε, καὶ θυμωθεὶς κατ' αὐτοῦ τῷ ξίφει τύψας τὸν κύνα ἀπέκτεινεν. εἶτα ἐντὸς τῆς οἰκίας γενόμενος ὁρᾷ τὸν παῖδα καθεύδοντα καὶ μὴ κατά τι τὸ σύνολον παραβλαβέντα, ἑωράκει δὲ καὶ τὸν ὄφιν ἀποκτανθέντα καὶ πρὸς τῇ κεφαλῇ τοῦ παιδίου κείμενον, καὶ εὐθὺς ἔγνω ὡς ὁ κύων τὸν ὄφιν ἀπέκτεινεν. εἶτα πικρῶς μετεμέλετο ὅτιπερ ἀναιτίως τὸν κύνα ἀνῄρηκεν, οὐδὲν δὲ πάντως τῆς μεταμελείας ἀπώνατο. καὶ σὺ οὖν, ὦ βασιλεῦ, μὴ οὕτως ἀκόπως τὸν υἱόν σου ἀνέλῃς, μήπως καὶ τῷ σῷ κράτει ὡς ἐκείνῳ δὴ τῷ στρατιώτῃ συμβήσεται καὶ μεταμελόμενος ἐπευχαῖς οὐδὲν B f.81 σεαυτὸν ὀνῆσαι δυνηθήσῃ. καὶ ἄλλης δέ μου διηγήσεως ἄκουσον.

Ἀνὴρ γάρ τις ἦν τὸν τρόπον ἀκόλαστος, ὃς ἡνίκα περί τινος εὐειδοῦς ἠκηκόει γυναικὸς πάντα λίθον ἐκίνει, τὸ τοῦ λόγου, ἄχρις ἂν αὐτῇ ἐκ παντὸς τρό-

RETRACTATIO.

ὁ κύων ὄφιν τινὰ παμμεγέθη ἐρχόμενον κατὰ τοῦ παιδὸς καὶ αὐτοῦ ἐκροφῆσαι τὸ αἷμα σπουδάζοντος. καὶ παρευθὺς ὁ κύων ἐγερθεὶς πόλεμον πρὸς τὸν ὄφιν ἐποίησε καὶ καταδακὼν αὐτὸν νεκρὸν αὐτὸν ἀπειργάσατο. κατ' αὐτὴν δὲ τὴν ὥραν ἦλθε καὶ ὁ στρατιώτης, καὶ ὁ κύων μετὰ χαρᾶς τούτῳ ἀπήντισεν. ἰδὼν δὲ ὁ στρατιώτης τὸ στόμα τοῦ σκύλου ἡμαγμένον, ἔδοξεν αὐτῷ ὡς ὁ κύων τὸ παιδίον ἔφαγε, καὶ κρούσας αὐτὸν τῷ ξίφει ἀπέκτεινεν. εἶτα ἐντὸς τοῦ οἴκου γενόμενος ὁρᾷ τὸν παῖδα κοιμώμενον ἀβλαβῆ, θεωρεῖ δὲ καὶ τὸν ὄφιν σκοτομένον καὶ πρὸς τῇ κεφαλῇ τοῦ παιδίου κείμενον, καὶ ἅμα ἔγνω ὡς ὁ κύων τὸν ὄφιν ἐφόνευσε. καὶ πικρῶς ὀλοφύρετο ὅτι χωρὶς ἀφορμῆς τὸ τοιοῦτον ἀπέκτεινε κυνάριον, οὐδὲν δὲ ὁ κύων ἐκ τῆς τοῦ αὐθεντὸς αὐτοῦ μεταμελείας ὠφεληθῆναι ἠδυνήθη, οὐδὲ ὁ στρατιώτης ἠδυνήθη ἀπὸ τῆς λύπης p. 63 καὶ τῆς μεταμελείας ἐγεῖραι τὸν κύνα. διὸ καὶ σὺ, βασιλεῦ, μὴ οὕτως ἀσκέπτως | τὸν υἱόν σου φονεύσῃς, μή πως καὶ τῷ σῷ κράτει μετάμελος γενήσεται ὕστερον ὡς τῷ στρατιώτῃ. καὶ ἴσως ἐκεῖνος περί τινος ζῴου, καὶ ταῦτα κυνὸς ὄντος φιλοδεσπότου· σὺ δὲ περὶ υἱοῦ τίνα ἕξεις ἀπολογίαν, ἀδίκως καὶ ἐξ ἀκοῆς μόνης τοιαῦτα ἐπιχειρήσας; ὅμως μέντοι γε, ὦ βασιλεῦ, καὶ ἄλλης διηγήσεως ἐπισχὼν ἄκουσον, παρακαλῶ.

Ἀνὴρ τις ἦν τῇ γνώμῃ σαθρός, ἀκόλαστος τῇ φύσει καὶ πορνοκόπος, ὡς ὁπόταν περί τινος ὡραίας γυναικός τι ἤκουε, πᾶν πρᾶγμα δευτέρου λόγου ἐποιεῖτο καὶ ἐν

---

1 sq. κατεχομένω 2 sq. αὐτὸν ἀμφιελίξαι? metaphrasta de ἐκθηλάξαι (= ἐκθηλάσαι) cogitavisse videtur 12 πάντα 13 ἀσκόπως? 14 sq. ἐπευχάτω οὐδὲν σε αὐτῶν ὠνῆ δυνηθεῖσι 16 ἀκόλαστον ὡς 17 παντὸς] πᾶν 19 σπουδάζοντα Boiss. 21 μετὰ χαρᾶς pro χαριέντως etiam p. 8,29 sq. ib. ἀπήντησεν Boiss. ib. ἰδὼν post στρατιώτης iteratum F 24 ἀβλαβῶς D ib. σκοτωμένον Ebh. 27 οὐδὲ — ἠδυνήθη om. D 29 μή πω (DE) Boiss. 32 γε add. F ib. παρακαλῶ om. D 33 lemma: ἑτέρα τοῦ αὐτοῦ E

που συνεμίγη. τῷ γοῦν τοιούτῳ ἀνδρὶ περί τινος ἐδηλώθη γυναικὸς σφόδρα ὡραιοτάτης, ἥτις ἔν τινι χωρίῳ τὴν κατοίκησιν ἐκέκτητο. καὶ μαθὼν τὰ κατ' αὐτὴν ὁ ἀνὴρ ἀπέστειλεν βιαζόμενος ταύτην εἰς συνουσίαν αὐτῷ συνελθεῖν· ἡ δὲ σωφρόνως καὶ σεμνῶς βιοτεύουσα ὡς ἀπηχές τι καὶ ἄτοπον τὴν τοῦ ἀνδρὸς βίαν ἀπεσείσατο. ὁ δέ γε θηλυμανὴς ἐκεῖνος μηδ' οὕτως παυόμενος ἐπ' ἐκεῖνο παρεγένετο τὸ χωρίον καὶ καταλύει ἀναιδῶς παρ' ἐκείνῃ τῇ γυναικί, εἶτα ὡς τὸ πρότερον βιάζειν αὐτὴν ἐπεχείρει· ἡ δὲ οὐ τὸ παράπαν ἠνέσχετο. σφοδρῶς δὲ ἐκεῖνος τῷ ἔρωτι σφαδάζων ἀπέρχεται πρός τινα γραΐδα γυναῖκα καὶ αὐτῇ ἀνακοινοῖ τὰ τοῦ πράγματος. ἡ δὲ γραῦς τῶν ῥημάτων τοῦ ἀνδρὸς ἀκούσασα, μάτην, φησί, κάμνεις, ὦ ἄνθρωπε· ἣν γὰρ ζητεῖς γυναῖκα τῶν πάνυ σωφρόνων καὶ κοσμίων καθέστηκεν, οὐ μέντοι μᾶλλον τῶν ἀκολάστων ὡς ὑπετόπασας. ὁ δέ γε ἀνὴρ αὖθις, ἀλλ' εἴπερ, φησίν, ἀπελεύσῃ πρὸς αὐτὴν καὶ τῷ θελήματί μου στοιχῆσαι ταύτην παρασκευάσεις, εὐθὺς εἴ τι δὴ καὶ παρ' ἐμοῦ ἐπιζητήσεις ἑτοίμως παράσχω σοι. ἡ δὲ γραῦς τοῖς τοιούτοις συγκινηθεῖσα ῥήμασι, ἐγὼ μέν, ἔφη, τὰ καταθύμιά σοι διαπράξωμαι, σὺ δὲ λοιπὸν ἄπιθι πρὸς τὸν ἐκείνης ἄνδρα, καὶ εὑρήσεις αὐτὸν καλυψάμενον ἐπιβλήματι τῶν εἰς στρωμνὴν χρηματιζόντων· ζήτησον γοῦν ἐκεῖνο τοῦ παρ' αὐτοῦ ἀπεμποληθῆναί σοι, καὶ λαβὼν μέχρις ἐμοῦ διακόμισον. ὁ δὲ καθάπερ αὐτῷ ἡ γραῦς διεστείλατο πορεύεται πρὸς τὴν ἀγορὰν

RETRACTATIO.

πρώτοις ὅσον ἠδύνετο ἐσπούδαζεν, ἕως οὗ αὐτὴν ἐκ παντὸς τρόπου συμμιγῇ. τούτῳ γοῦν τοιούτῳ τὴν φύσιν ὄντι περί τινος ἤκουσται γυναικὸς λίαν ὡραιοτάτης, ἥτις καὶ ἔν τι χώρᾳ τὴν οἴκησιν ἐποιεῖτο. ἐν ᾧ χωρίῳ ἀπέστειλεν ὁ ἐραστὴς ἐκεῖνος καὶ παρακαλῶν καὶ βιαζόμενος πρὸς συνάφειαν· ἡ δὲ γυνὴ σωφρονεστάτη οὖσα οὐ προσεδέξατο τὴν τοῦ ἀνδρὸς παράκλησιν ἢ ἀπειλήν. ὁ δέ γε θηλυμανὴς ἐκεῖνος ἀνὴρ μὴ οὕτως ἀποδιωχθεὶς παρὰ γυναικὸς παρῃτήσατο, ἀλλ' | ἐπ' ἐκείνῳ τῷ χωρίῳ παραγενόμενος, ἀναισχύντως ὡς εἰς ξενοδοχεῖον καταλύει ἐν τῷ οἰκήματι τῆς ἐρωμένης, εἶτα ὡς τὸ πρότερον ἐπεχείρει ταύτην βιάζεσθαι· ἡ δὲ οὐδαμῶς εἶξε τοῖς λόγοις αὐτοῦ. οὗτος οὖν ὁ ἀνὴρ τῷ ἔρωτι τῆς γυναικὸς τρωθεὶς ἀπέρχεται πρός τινα γραῖαν καὶ διηγεῖται τὰ περὶ τοῦ πράγματος. καὶ ἡ γραῦς οὕτως ἀπελογήσατο εἰποῦσα· ὦ ἄνθρωπε, ἀκαίρως ζητεῖς καὶ κοπιᾷς εἰς μάτην περὶ αὐτῆς· αὕτη γὰρ τῶν πάνυ σωφρόνων ἐστὶ καὶ οὐ τῶν πορνῶν ὡς σὺ ἐνόμισας. καὶ ὁ ἀνήρ· ὦ μῆτερ, ἐὰν καταπείσῃς αὐτὴν τῷ ἐμῷ θελήματι, εὐθὺς εἴ τι ζητήσεις παρ' ἐμοῦ εὐκόλως σοι ἀποδώσω. ἡ δὲ γραῦς τὴν δόσιν τοῦ χρυσίου ἀκούσασα, ἐγώ, φησὶ τῷ ἀνδρί, τὴν ἐπιθυμίαν σου ἐκτελέσω· τὸ λοιπὸν ἄπελθε πρὸς τὸν ἄνδρα ἐκείνης, καὶ εὑρήσεις αὐτὸν σκεπασμένον μετὰ ῥούχου, ἢ σινδόνην ἢ ἐφάπλωμα· ζήτησον οὖν τοῦ πωλῆσαί σοι αὐτό, καὶ λαβὼν τὸ ῥοῦχον φέρε μοι ἐδῶ. ὁ δὲ νέος ἅμα τῷ λόγῳ πορεύεται εἰς τὴν ἀγορὰν καὶ τὸ | σχῆμα τοῦ ἀνδρὸς

p. 64 p. 65

---

3 αὐτὴν] αὐτῆς ib. συνεισελθεῖν 5 ἀπεστείσατο ib. ἐπ' ἐκείνω 7 βιάζεσθαι? 8 sq. ἀνακινεῖ 9 sq. μάτην] μά 12 ἀλλ' ὑπὲρ φύσιν 17 ἐκείνω 18 ὁ δὲ | ὁ δὲ 20 ἤκουστο? Ebh. 21 ἔν τινι Boiss. 26 οὕτως? Ebh. 28 οὕτως] τούτω F 33 ἐκείνης] αὐτῆς F ib. αὐτὸν] ἐκεῖνον F 33 sq. ἢ σινδόνην (σινδόνιν F) ἢ ἐφάπλωμα del. Boiss.

διδαχθεὶς παρ' ἐκείνης καὶ τὰ τοῦ ἀνδρὸς σύσσημα. περιερχόμενος δὲ τοῖς ἐκεῖσε προσεῖχε ὡς δεδίδακτο ἐργαστηρίοις τὸν ἄνδρα ὀψόμενος, ἰδὼν δέ τινα τὰ τῇ γραίδι λεχθέντα κεκτημένον σήμανδρα ἐπέγνω εὐθὺς ἐκεῖνόν τε τυγχάνειν τὸν τῆς γυναικὸς σύνευνον, καὶ πρὸς αὐτὸν ἀφικόμενος, πώλησόν μοι, ἔφησεν, τόδε σου τὸ ὕφασμα. ὁ δὲ τοῦτο τῷ ἀνδρὶ διέπρασεν. ὃ καὶ λαβὼν ἐκεῖνος τῇ γραίδι ἀπεκόμισε. ἡ δὲ τούτου ἀσμένως δεξαμένη αὐτίκα τινὰ τούτου τρία μέρη τῷ πυρὶ κατέκαυσεν καὶ τῷ ἐραστῇ ἔφησεν· καθέσθητι τοῦ λοιποῦ ἐν τῷδε τῷ οἰκήματι, καὶ μηδεὶς τὸ παράπαν τῶν ἔξω κατίδῃ σε. εἶτα τὸ ἔπιπλον ἐκεῖνο μεθ' ἑαυτῆς λαβοῦσα ἐπὶ τὴν τῆς γυναικὸς οἰκίαν ἐπορεύθη, καὶ εἰσελθοῦσα ἀθρόως μηχανικῶς ἐκείνης τὴν ὄρασιν διαλανθάνει καὶ ὑπὸ τὸ τοῦ ἀνδρὸς αὐτῆς προσκεφάλαιον τὸ ἔπιπλον τίθησι, καὶ μικρὸν τῇ γυναικὶ μετὰ ταῦτα ὁμιλήσασα ἐξέρχεται ἐκεῖθεν. ἡ μέντοι γυνὴ μὴ εἰδυῖα τὸ δρᾶμα οὐδὲν ὅλως περὶ τῆς γραίδος
B f. 82 ὑπετόπασεν. περὶ δὲ τὴν τοῦ ἀρίστου ὥραν ὁ τῆς γυναικὸς ἀνὴρ | παρεγένετο, καὶ εἰσελθὼν κατεκλίθη ἐπὶ τῆς κλίνης αὐτοῦ. τοῦ δὲ προσκεφαλαίου μετεώρου τυγχάνοντος, διάρας τοῦτο τοῦ καλῶς διαθέσθαι, ὁρᾷ ὑπ' αὐτῷ τὸ ἔπιπλον ἐκεῖνο ὃ πέπρακε κείμενον. καὶ πρὸς μὲν τὴν σύζυγον οὐδὲν ὅλως περὶ τούτου ἀπεφθέγξατο, ἐγερθεὶς δὲ ἀθρόως χεῖρας αὐτῇ θρασέως ἐπέβαλεν καὶ σφοδροτάταις ταύτην πληγαῖς περιέβαλεν. ἡ δὲ δεινοπαθήσασα τὴν καρδίαν αὐτίκα τῆς οἰκίας μετ' οἰμωγῆς ἐκπορεύεται καὶ πρὸς τοὺς αὐτῆς παραγίνεται γεννήτορας. διηπόρει δὲ καθ' ἑαυτὴν ἐξότου χάριν ᾐκίσθη. ταῦτα δὲ ἡ γραῦς παρά τινων ἐνωτι-

RETRACTATIO.

μαθὼν παρ' αὐτῆς καὶ τὸ ἐργαστήριον ἦλθε πρὸς αὐτὸν καὶ λέγει· πώλησόν μοι τόδε σου τὸ ἱμάτιον. ὁ δὲ διεπώλησεν αὐτό. καὶ λαβὼν ὁ νέος τὸ ἔπιπλον διεκόμισε τῇ γραίδι. ἡ δὲ γραῦς μετὰ χαρᾶς τοῦτο δεξαμένη εὐθὺς τρία μέρη τοῦ σκεπάσματος ἐκείνου κατέκαυσε καὶ τῷ ἐραστῇ ἔφησε· κάθου ὧδε ἐν τῷ ἐμῷ ὀσπητίῳ, καὶ μηδεὶς ἔξω ἄνθρωπος ἴδῃ σε. τὸ δὲ ἔπιπλον λαβοῦσα ἐπορεύθη ἐπὶ τὴν οἰκίαν τῆς γυναικός, καὶ ἐξαίφνης εἰς τὴν οἰκίαν εἰσελθοῦσα καὶ τὸ βλέμμα ὑποκλέψασα τῆς κόρης ἔθηκεν ὑποκάτω τοῦ προσκεφαλαίου τῆς κλίνης τοῦ ἀνδρός, καὶ ὀλίγην ὥραν τῇ γυναικὶ ὁμιλήσασα ἀπῆλθε, τῆς γυναικὸς μηδόλως γινωσκούσης τὸ πραχθὲν παρὰ τῆς γραός. περὶ δὲ τὴν ὥραν τῆς τροφῆς ὁ ἀνὴρ ἐλθὼν ὁ τῆς γυναικὸς ἀνέπεσεν ἐπὶ τῆς κλίνης αὐτοῦ. τοῦ δὲ προσκεφαλαίου ὑψηλοῦ ὄντος, ἀνασικώσας τοῦ τιθέναι καλῶς, βλέπει ἐπ' αὐτῷ κείμενον τὸ ῥοῦχον, ὅπερ ἐπώλησε τὸν νεανίσκον. καὶ πρὸς μὲν τὴν ὁμόζυ-
p. 66 γον οὐδὲν περὶ τοῦ ῥούχου ἐφθέγξατο, ἀλλ' εὐθὺς ἐγερθεὶς τὰς χεῖ|ρας ἐπέβαλε τῇ γυναικὶ καὶ πολλὰς πληγὰς αὐτῇ περιέθηκεν. ἡ δὲ γυνὴ δεινοπαθήσασα τὴν καρδίαν τῆς οἰκίας ἐξῆλθε καὶ πρὸς τοὺς ἑαυτῆς γονεῖς παραγίνεται. καὶ διηπόρει καθ' ἑαυτὴν καὶ ἐστέναζε δι' ἣν αἰτίαν ἔδειρεν αὐτὴν ὁ ἀνὴρ αὐτῆς. ταῦτα δὲ μαθοῦσα ἡ γραῦς

---

1 κατὰ τοῦ ἀνδρὸς σύσημα 2 δεδείκτω 3 σήμαντρα? 4 ἀφηκόμενον 8 κατίδειν σοι 10 διαλανθάνειν 13 ἐπετόπασεν 15 ἐπ' αὐτῷ 17 θρασέας 20 ὅτου χάριν? 24 ὀσπητίῳ D, ὀσπιτίῳ Boiss. 28 ἀπῆλθεν F 30 ἀνασικόσας F, ἀνασηκώσας Boiss.

σαμένη πορεύεται καὶ αὐτὴ ἔνθα οἱ τῆς γυναικὸς διῆγον γεννήτορες, καὶ πρὸς ἐκείνην εἰσελθοῦσα περιπαθῶς αὐτῇ ἔλεγεν· ἠκηκόειν ὅπως σε ὁ ἀνὴρ σφοδρῶς κατῄκισε καὶ τὴν σὴν ὀδύνην οἰκείαν, ἴσθι, ἐλογισάμην. ἡ δὲ τῇ γραΐδι ἀντέφησεν· ἐκεῖνος μὲν ἤδη χαλεπῶς ἡμᾶς ἔτυψεν, ἐγὼ δὲ οὐκ ἐπίσταμαι διὰ ποίαν γε αἰτίαν. ἡ δὲ γραῦς, ἀλλ' εὖ ἴσθι, ἀπεκρίνατο, ὡς ἐκ γοητείας τινῶν χαιρεκάκων ταῦτα συμβέβηκε· πλὴν εἴπερ σοι δοκεῖ ἐλθὲ ἐπὶ τὴν ἐμὴν οἰκίαν· ὑπάρχει γὰρ ἐκεῖσε ἰητρός τις ἀνήρ, οὗπερ οὐδεὶς ἰητρῶν δοκιμώτερος καθέστηκε, κἀκεῖνος δὴ παντοίαν εὖ ποιήσει θεραπείαν, καὶ μᾶλλον τὰ τῆς πείρας καὶ αὐτὴ διδαχθῇς. ἡ δὲ τοῖς λόγοις τῆς γραΐδος συγκατέθετο καὶ ὥσπερ ἔνθους ὑπ' αὐτῶν γενομένη, ἐγὼ μέν, ἔφη, ἑτοίμως ἀκολουθήσω σοι, σὺ δὲ εἴπερ μοι ἐκείνου τοιαύτην ἐμποιήσεις ἀσφάλειαν, κἀγὼ φιλοτίμως σε καὶ δεόντως δεξιώσω. εἶτα ὀψίας γενομένης λαβοῦσα αὐτὴν ἡ γραῦς ἐπὶ τὴν ἑαυτῆς οἰκίαν ἀπήγαγεν, καὶ τῷ ἐραστῇ ἔφησεν ὡς· ἰδοὺ ἐντὸς ἀρκύων τὸ θήραμα καὶ ἤχθη σοι ἡ γυνή. ὁ δὲ εὐθὺς ἀναστὰς κατέσχε τὴν γυναῖκα καὶ βιαίως αὐτῇ συνεγένετο. ἐκείνη δὲ οὕτως ἐνυβριζομένη καὶ πικρῶς ἄγαν τὴν ἀσχημοσύνην φέρουσα ἐκινεῖτο μὲν εἰς τὸ κραυγάσαι, ἐσιώπα δὲ διὰ τὴν αἰσχύνην. ἐσύστερον δὲ σύντρομος ἐξελθοῦσα πρὸς τοὺς γεννήτορας τὸ τάχος ἐπανῆκε. πρωίας δὲ γενομένης ὁ ἐραστὴς τῇ γραΐδι ἐκείνῃ, τοῦ μὲν ἤδη γεγονότος ἕνεκα μεγάλας σοι, ὦ γύναι, ὀφείλω

RETRACTATIO.

παρά τινων πορεύεται καὶ αὐτὴ ὅπου ἦν ἡ κόρη, πρὸς τοὺς γονεῖς αὐτῆς. καὶ εἰσελθοῦσα πρὸς τὴν κόρην περιπαθῶς λυπουμένη ἔλεγε πρὸς αὐτήν· ἤκουσα πῶς ἀνήρ σου σφοδρῶς σε ἔδειρε, καὶ γίνωσκε ὅτι τὴν σὴν χολὴν καὶ τὴν λύπην ἐμὴν ἐλογισάμην. ἡ δὲ γυνὴ τῇ γραΐδι ἀντέφησεν· ὁ μὲν ἀνήρ μου χαλεπῶς με ἔτυψεν, ἐγὼ δὲ οὐ γινώσκω διὰ ποίαν αἰτίαν τοῦτο πεποίηκε. καὶ ἡ γραῦς ἀπεκρίνατο· γίνωσκε καλῶς ὡς ἐκ μάγων τινῶν καὶ χαιρεκάκων ἀνδρῶν ταῦτα συμβέβηκε· πλὴν ἐάν σοι καλὸν φαίνηται, ἐλθὲ ἐπὶ τὴν ἐμὴν οἰκίαν· ὑπάρχει γὰρ ἐν ἡμῖν ἰατρός τις ἀνήρ, καὶ καλλίων ἰατρὸς τούτου οὐκ ἔνι, καὶ ἐκεῖνος παντοίαν θεραπείαν ποιήσει σε, μᾶλλον δὲ καὶ ἀπὸ τῆς δοκιμῆς καὶ σὺ νοήσεις τὸν ἄνθρωπον ὁποῖος | ὑπάρχει εἰς τὴν τέχνην ἣν ζητήσεις p. 67 αὐτόν. ἡ δὲ γυνὴ τοῖς τῆς γραὸς στέρξασα λόγοις, ἐγὼ μέν, ἔφη, ἑτοίμως ἀκολουθήσω σοι. σὺ δὲ ἐάν μοι ποιήσῃς τρόπον εἰρήνης μετὰ τοῦ ἀνδρός μου διὰ τούτου δὴ τοῦ ἰατροῦ, φιλοτίμως ἀμείψομαί σοι. ἑσπέρας δὲ γενομένης λαβοῦσα ἡ γραῦς ἐπὶ τὴν οἰκίαν αὐτῆς, καὶ τῷ ἐραστῇ λέγει· ἰδοὺ τὸ κυνήγιον ἐν τοῖς δικτύοις. καὶ τῆς γυναικὸς εἰσελθούσης ὁ δῆθεν ἰατρὸς ἐκράτησε τὴν γυναῖκα καὶ συνεμίγη. ἐκείνη δὲ ὑβριζομένη ἠνιᾶτο καὶ ἤσχαλλεν, ὅμως δὲ λαλῆσαι ἐδειλία. ὕστερον δὲ μετὰ τὴν συνουσίαν ἐξελθοῦσα συντόμως ἀπῄει πρὸς τοὺς γεννήτορας ἐπανῆκε. πρωίας δὲ γενομένης ὁ ἀνὴρ πορευθεὶς πρὸς τὴν γραῦν εἶπε· διὰ μὲν τοῦ ἔργου οὗ μοι ἐποίησας πολλάς σοι χρεω-

4 ἤδη] δή? 6 δοκῆ 8 post εὖ ποιήσει intercidisse videtur σε ib. αὐτῇ διδαχθεὶς 9 συγκατετέθετο 9 sq. γινομένη 13 γυναῖ 16 κραυγᾶσαι et p. 51,5 ἐπισκευᾶσαι 17 ἐξανῆκε 20 ἀνήρ Ebh., immo ὁ ἀνήρ 30 sq. λαβοῦσα κτλ.] interciderintne an a metaphrasta omissae sint vv. αὐτὴν et ἀπήγαγεν, haud facile dicas, quamvis claudicet syntaxis. Ebh. 31 post αὐτῆς inseruit ἀπῄει, «quod in margine fortasse adscriptum, infra l. 34 loco non opportuno in verba scriptoris irrepsit», coniectura non improbabili, modo ἀπῄει ab interpolatore adscriptum fuisse sumas. cf. supra ad p. 17,26 sqq. 32 συνεμμίγη et 33 ἤσχαλεν F 34 ἀπῄει καὶ πρὸς Boiss. 35 πολλά EF

τὰς χάριτας, ἐπὶ δέ γε τοῖς τῇ γυναικὶ συμβεβηκόσι παρὰ τοῦ ἀνδρὸς αὐτῆς οὐ μικρῶς λελύπημαι, ὅτιπερ ἐγὼ πάντως αὐτῶν αἴτιος γεγένημαι. ἡ δὲ γραῦς, μὴ λυποῦ, φησίν· ἐγὼ γὰρ διά τινος εὐμεθόδου μηχανῆς παρασκευάσω ἐκείνους ἀλλήλοις διαλλαγῆναι. σὺ δέ μοι λοιπὸν ἐπὶ τὴν ἀγορὰν ἄπιθι πρὸς τὸν τῆς γυναικὸς σύνευνον καὶ ἐπὶ μικρὸν ἐκεῖσε παράμεινον· κἀκεῖνος εὐθὺς περὶ οὗ σοι ἐπώλησεν ἐπίπλου ἐμμελῶς πρός σε ἀνεξετάσει· εἶτα αὐτὸς τοῦτο ἀποκρίθητι, ὡς· τῷ πέπλῳ σου καλυψάμενος ἐπί τινος ἐκαθέσθην κλιβάνου καὶ κατὰ λήθην ἐμοῦ τῷ πυρὶ προσεγγίσαντος ἐν τρισὶν ἐξεκαύθη μέρεσι. ἐγὼ δὲ ἀνιαθεὶς ἐπὶ τῷ γεγονότι παρέσχον τὸ ἔπιπλον πρὸς γραΐδα τινὰ γνωστήν μοι, ὅπως τοῦτο ἀπαγαγοῦσα πρός τινα τῶν ὑφαντῶν τὰ ἐκκαυθέντα τούτου μέρη ἀνυφανθῆναι παρασκευάσει. ἐξότου δὲ τὸ τοιοῦτον ἡ γραῦς ἐκείνη παρέλαβεν, οὐκέτι αὐτὴν ὁπωσοῦν ἑωράκειν, ἀλλ' οὐδὲ τὸ παράπαν ἐπίσταμαι τί ἄρα καὶ γένοιτο. ταῦτα οὖν, φησί, τῷ τῆς γυναικὸς ἀνδρὶ λάλησον· καὶ εἰθούτως ἔγωγε ἐμαυτὴν ἐμφανίσω καὶ πρὸ τῶν ὀφθαλμῶν ὑμῶν διερχομένη ἔσομαι· καὶ ἅμα τῷ θεαθῆναί με σήμανον εὐθὺς τῷ ἀνδρὶ ὡς· ἰδοὺ ἐκείνη ἥν σοι ἔφην γραΐδα, πρὸς ἣν καὶ τὸ ἔπιπλον ἐνεχείρησα. καὶ σὺν τῷ λόγῳ φώνησόν με εὐθὺς καὶ ἐπερώτησον τί τὸ ἔπιπλον γένοιτο. ἐγὼ δὲ ἐξ ἑτοίμου ἐπ' ἀκροάσει τοῦ ἀνδρὸς εὐλογοφανῶς μάλα περὶ τούτου ἀποκριθήσομαι. ἀναστὰς οὖν ἐκεῖνος μετὰ ταύτας τὰς τῆς γραΐδος ὑποθήκας πορεύεται καὶ ποιεῖ ὅσαπερ καὶ δεδίδακτο, καὶ τῷ συνεύνῳ τῆς γυναικὸς διομίλησεν ἅπαντα./ ἐσύστερον δὲ καὶ ἡ γραῦς κατ' ὄψιν αὐτῶν

RETRACTATIO.

στῶ, ἐπὶ δὲ τῇ γενομένῃ ταραχῇ μέσον τῆς γυναικὸς καὶ τοῦ ἀνδρὸς μεγάλως λελύπημαι, ὅτι αἴτιος ἐγὼ ὑπάρχω τῆς ὀχλήσεως. ἡ δὲ γραῦς λέγει· μὴ λυποῦ, νεανία· ἐγὼ γὰρ διά τινος τεχνικῆς μηχανουργίας ποιήσω ἐκείνους φιλιωθῆναι. σὺ δὲ λοιπὸν
p. 68 ἄπελθε | εἰς τὴν ἀγορὰν πρὸς τὸν ἄνδρα τῆς γυναικὸς καὶ μικρὸν ἐκεῖ ἀκαρτέρησον. καὶ ἐκεῖνος ἅμα ἐξετάσει σε περὶ τοῦ ῥούχου ὅπερ σοι ἐπώλησε· σὺ δὲ εἰπὲ αὐτῷ ὅτι· τὸ ῥοῦχόν σου φορέσας ἐκάθισα ἐπάνω κλιβάνου καὶ ἐμοῦ μὴ εἰδότος εἰς τρία μέρη ἐκαύθη· ἐγὼ δὲ πολλὰ λυπηθεὶς ἐπὶ τῷ γεγονότι δέδωκα τὸ ῥοῦχον πρός τινα γραῦν ἣν ἐγνώριζον, ὅπως δώσῃ αὐτό τινα ὑφαντήν, καὶ τὰ καυθέντα μέρη ποιήσει ὑγιῆ. ἐξότου γοῦν ἡ γραῦς ἐκείνη τὸ ῥοῦχον ἔλαβεν, οὐκ ἔτι αὐτὴν εἶδον, ἀλλ' οὐδὲ τὸ ῥοῦχον ἐκεῖνο τί γέγονεν. ταῦτα τῷ ἀνδρὶ τῆς γυναικὸς εἰπέ· καὶ μετὰ ταῦτα, εἶπεν ἡ γραῦς, ἐγὼ ἐμαυτὴν φανερώσω ἐνώπιον τῶν ὀφθαλμῶν ὑμῶν, καὶ ποιήσομαι διὰ δουλείαν μου πορεύεσθαι· καὶ εὐθὺς ὡς ἂν ἴδῃς με, φανέρωσον τῷ ἀνδρὶ εἰπὼν ὅτι· ἰδοὺ ἡ γραῦς ἣν εἶπόν σοι· αὕτη ἐστὶν ἥτις καὶ τὸ ῥοῦχον ἔλαβε. καὶ ἅμα λάλησόν με καὶ ἐρώτησον· ὦ γύναι, τί τὸ ῥοῦχον ἐκεῖνο γέγονε; ἐγὼ δὲ τότε ἅμ' εὐθὺς καλῶς μάλα
p. 69 ἀπολογήσομαι καὶ | ὡς δεῖ. ἀναστὰς οὖν ὁ ἄνθρωπος ἐποίησε καθὼς ἐδιδάχθη παρ' αὐτῆς, καὶ ἐντυχὼν τῷ ἀνδρὶ εἶπεν ἅπαντα./καὶ τῆς γραὸς ἐνώπιον αὐτῶν διερχομένης ὁ τῆς μοιχείας ἐργάτης αὐτὴν ἐκάλεσε καὶ περὶ τοῦ ῥούχου ἀνηρώτα. ἡ δὲ γραῦς

---

4 ἀλλήλους 6 ἐμμελῶς corruptum? ib. τούτῳ? 7 ἐκαθέστην 8 προσεγγίσαν, 14 τῶν ὀφθ. ὑμῶν] τῶν ἡμῶν (pr. ἐμῶν) ὀφθαλμῶν 28 δώσει Boiss. 29 sq. οἶδα deesse putabat Boiss., post οὐδὲ inseruit Ebh. 31 προσποιήσομαι vel σχηματοποιήσομαι Boiss. 32 post ἀνδρί F addit σου 36 δεχομένης EF

διήρχετο· καὶ καλέσας αὐτὴν ὁ τῆς μοιχείας ἐργάτης ἀνηρώτα περὶ τοῦ πέπλου. ἡ δὲ γραῦς τῷ τῆς γυναικὸς ἀνδρὶ ἐνατενίσασα πρὸς ἐκεῖνον ἐποιεῖτο τὸν ἀπόλογον καὶ ἔλεγεν· ἀπάλλαξόν με τῶν τοῦ ἀνδρὸς τοῦδε ἀδίκων ὀχλήσεων· καὶ γάρ μοι πέπλον ἐνεχείρησεν, ἀπαγαγεῖν τοῦτό τινι τῶν ὑφαινόντων εἰς τὰ τούτου διαφθαρέντα μέρη ὡς δυνατὸν ἐπισκευάσαι. ἔγωγε κατά τινα τύχην παρὰ τὴν σὴν εἰσῆλθον ὁμόζυγον, καί με παντελῶς λέληθε κἂν ἐν τῷ σῷ οἰκίσκῳ κἂν ἐν ἑτέρῳ τόπῳ παρ' ἐμοῦ κατελείφθη, ὡς μὴ δύνασθαι μνησθῆναί με τί ἄρα καὶ γένοιτο. τούτων οὕτω ῥηθέντων τῷ τῆς γυναικὸς ἀνδρὶ ἐκεῖνος τῇ γραίδι ἀντέφησεν· ἀλλὰ σοὶ γνωστὸν ἔστω, ὦ γύναι, ὡς ἐκείνου τοῦ ἐπίπλου ἕνεκεν οὐ μικρὸς χόλος καὶ θόρυβος ἐν τῷ οἴκῳ μου γέγονεν. καὶ ἐκβαλὼν αὐτίκα ἐπιδέδωκεν ἀμφοτέροις τὸ τοιοῦτον ἔπιπλον, εἶτα πορευθεὶς οἴκαδε τῇ ὁμοζύγῳ ἐσπείσατο καὶ δωρεαῖς αὐτὴν φιλοτίμως ἐδεξιοῦτο, ἀξιῶν αὐτῇ διαλλαγῆναι· ἡ δὲ μόλις τῷ ἀνδρὶ διηλλάγη. καὶ νῦν γίνωσκε λοιπόν, ὦ βασιλεῦ, ὡς ἀπέραντος ἡ τῶν γυναικῶν μοχθηρία καὶ δι' αὐτῆς οὐκ ὀλίγοι ἀδίκως ἀπόλ-

RETRACTATIO.

ἀπιδοῦσα πρὸς τὸν ἄνδρα τῆς γυναικὸς ἐποιεῖτο τοὺς λόγους λέγουσα αὐτῷ· ἐλευθέρωσόν με ἀπὸ τὰς ἀδίκους ὀχλήσεις τοῦ ἀνδρὸς τοῦδε· καὶ γὰρ σκεπάσματι ῥοῦχόν μοι ἔδωκε, ἵνα φέρω τοῦτο πρός τινα τῶν τεχνιτῶν, ἵνα τὰ διακαυθέντα τοῦ ῥούχου μέρη ὡς δυνατὸν ὑγιᾶ κατασκευάσῃ· ἐγὼ δὲ οὐκ οἶδα καὶ παρὰ τὴν σὴν εἰσῆλθον ὁμόζυγον, καὶ παντελῶς ἐπελαθόμην ἡ ταλαίπωρος ποῦ τὸ ῥοῦχον ἐκεῖνο ἀφῆκα, ἢ ἐν τῷ σῷ οἴκῳ ἢ ἐν ἑτέρῳ τόπῳ· οὐδαμῶς γὰρ δύναμαι ἐνθυμηθῆναι τί γε ἄρα γέγονεν. οὕτως τῆς γραὸς εἰπούσης τῷ ἀνδρὶ τῆς γυναικὸς ἐκεῖνος ἀντέφησε πρὸς αὐτήν· ἀλλά σοι γνωστὸν ἔστω ὅτι δι' ἐκεῖνο τὸ ἔπιπλον μεγάλη ταραχὴ ἐν τῷ οἴκῳ μου γέγονε. καὶ ἅμα δέδωκε καὶ τοὺς δύο τὸ ἔπιπλον ἐκεῖνο, | καὶ ἀπελθὼν ἐν τῷ οἴκῳ αὐτοῦ μετὰ τῆς p. 70 γυναικὸς φιλίαν ἐποίησε. καὶ ὁ τάλας χαρίσμασι καὶ δωρεαῖς μεγάλως αὐτὴν ἐτίμησε, δεόμενος ἵνα μετ' αὐτοῦ διαλλαγὴν καὶ ἀγάπην ποιήσῃ· ἡ δὲ μόλις ἐποίησεν ἀγάπην μετ' αὐτοῦ. καὶ νῦν γίνωσκε λοιπόν, ὦ βασιλεῦ, ὅτι οὐκ ἔχει τέλος ἡ τῶν αἰσχρῶν καὶ φαύλων γυναικῶν πονηρία, ἀλλ' οὐδὲ χεῖρον κακὸν γυναικὸς πονηρᾶς ἐστιν, ὥσπερ οὐδὲ καλῆς καὶ ἀνδρείας γυναικὸς οὐδέν τι κρεῖττον ἐστί· κατὰ διάμετρον γὰρ καλῆς γυναικὸς καὶ χείρονος μέγα χάσμα ἐστί, κἂν καὶ ἴσην ἔχουσι τὴν ὁμωνυμίαν· ἀμφότεραι γὰρ γυναῖκες καλοῦνται καὶ εἰσίν, ἀλλ' ἡ μὲν θηρίῳ ἔοικε πολυμόρφῳ καὶ πολυκεφάλῳ, οἷον εἰπεῖν τῷ τῆς ὕδρας, ἡ δὲ λίθῳ πολυτελεῖ καὶ ἀσυγκρίτῳ. ὅθεν καὶ ἀπὸ τῆς πονηρίας αὐτῶν πολλοὶ ἀδίκως ἐφθάρησαν. ὥσπερ δὴ συνέβη γενέσθαι καὶ εἰς τὴν

---

4 εἰς τὸ τά? 6 λέλυθα καὶ 7 κατελήφθη 8 γένοιτο τοῦτω· οὕτω 12 ἐπείσατο ib. φιλοτίμοις? cf. p. 40, 18 14 sq. ἀπώληνται 16 σκέπασμά τι ῥούχου Boiss., qui addit: «forsan ῥοῦχον tantum servandum et σκεπάσματι ut glossema rejiciendum». σκεπάσματι ῥούχου EF 17 τοῦτο add. F 19 εἰ ἐν? Ebh. 22 μεγάλη καὶ ταραχὴ D. «Deest forsan nomen: μεγάλη σύγχυσις, vel ὄχλησις, καὶ ταραχή» Boiss. 23 καὶ prius neque delendum (Boiss.) neque «arcte cum v. δέδωκε coniungendum» (Ebh.), sed καὶ τοὺς δύο ex usu recentiorum scriptum est pro ἀμφοτέροις. copulantur ut fit haec duo infra p. 55, 29 24 μεγάλαις EF 25 ποιήσῃ om. D 27 οὐδὲν χεῖρον? videtur metaphrastes versuum Sophocleorum nobis a Stobaeo Flor. 69,14 servatorum (fr. 621 N.: οὕτω γυναικὸς οὐδὲν ἂν μεῖζον κακὸν κακῆς ἀνὴρ κτήσαιτ' ἂν οὐδὲ σώφρονος κρεῖσσον) aliquam notitiam habuisse. nam aliorum poetarum loci, quibus eadem sententia continetur, verbis minus sunt similes ib. ὥσπερ] ἥσπερ D 29 μέγα χάσμα] «Ev. Luc. 16, 26» Ebh. ib. ἐπωνυμίαν Ebh. 30 πολυμόρφου F 31 ὑερᾶς D

λυνται, ὥσπερ δὴ καὶ τὴν τοῦ ἀνδρὸς ὁμόζυγον συνέβαινεν τῇ τῆς γραίδος μηχανουργίᾳ. τούτοις αὖθις προσσχὼν ὁ Κῦρος τὴν ἀναίρεσιν τοῦ παιδὸς ἀναβάλλεται.

Ἡ δέ γε τοῦ βασιλέως παλλακὴ ταῦτα ἐνωτισθεῖσα εἰσέρχεται πρὸς αὐτὸν κατὰ τὴν αὐτὴν πέμπτην ἡμέραν καὶ μετὰ οἴκτου αὐτῷ ἔφη· ἐπὶ τῷ θεῷ πέποιθα, ὦ βασιλεῦ, ὡς τοιαύτην μοι δίκην κατὰ τῶνδέ σου τῶν φιλοσόφων δῆθεν συμβούλων βραβεύσοιεν, ὁποίαν δὴ καί τινι κατὰ λέοντος καὶ πίθηκος βραβευθῆναι λέγεται. ὁ δὲ βασιλεὺς ἔφη· καὶ πῶς τὰ κατ' ἐκεῖνα συμβέβηκε τὰ ζῷα; ἡ δὲ ἀπεκρίνατο· ἦν γάρ τις ὄχλος ἐμπόρων, οἳ καὶ ἐπί τινα ἐμπορίαν συνήθως ἐστέλλοντο.
B f.84 ἐτύγχανον δὲ ἐκείνοις οὐκ ὀλίγα ὑποζύγια. καὶ ὀψίας γενομένης | ἐπί τι κατέλαβον πανδοχεῖον, ἐν ᾧ κατέλυσαν· τὸν δέ γε τοῦ πανδοχείου πυλῶνα κατασφαλίσαι ἐπελάθοντο. εἶτα λέων εἰσελθὼν εἰσέδυ τὸ οἴκημα καὶ ἑαυτὸν ἀταράχως τοῖς ὑποζυγίοις ἐγκατέμιξε, μή τινος περὶ αὐτοῦ αἰσθομένου τὸ σύνολον. μετὰ μικρὸν δὲ παραγίνεταί τις τῶν κλεπτῶν συλῆσαι ἐκ τῶν ὑποζυγίων. καὶ δὴ σκοτίας οὔσης ἀναψηλαφῶν αὐτῶν ἕκαστον τῇ χειρὶ διετέλει, ὅπως τὸ πολυσάρκως ἔχον τῶν ἄλλων συλήσειε. τὴν δέ γε ψηλάφησιν ἀπαρχόμενος ποιήσασθαι, ἐκτείνας αὐτοῦ τὴν χεῖρα τοῦ λέοντος ἀνεπαισθήτως ἥψατο. καὶ τῶν μὲν κτηνῶν εὐτραφέστερον αὐτὸν εἶναι κατενόησεν, ἕνα δὲ τοῦτον τυγχάνειν τῶν ὑποζυγίων

RETRACTATIO.

τοῦ ἀνδρὸς ἐκείνου γυναῖκα διὰ τὴν τῆς γραὸς πονηρίαν. πρόσεχε οὖν σεαυτῷ, ὦ βασιλεῦ. τούτων ἀκούσας ὁ Κῦρος διεκώλυσε τὸν τοῦ παιδὸς φόνον.

p. 71 | Ἡ δὲ τοῦ βασιλέως ἐκείνη παλλακὴ ταῦτα μαθοῦσα πάλιν εἰσέρχεται πρὸς αὐτὸν κατὰ τὴν πέμπτην ἡμέραν καὶ μετὰ δακρύων πολλῶν αὐτῷ ἔλεγεν ὅτι· θαρρῶ, ὦ βασιλεῦ, ὡς τοιαύτην μοι δίκην κατὰ τῶνδέ σου τῶν φιλοσόφων καὶ τάχα συμβούλων ὡς ὁ θεὸς ποιήσειεν, ὥσπερ κατά τινος λέοντος καὶ πίθηκος πεποιηκέναι λέγεται. καὶ ὁ βασιλεύς· καὶ πῶς ἐγένετο κατ' ἐκεῖνα τὰ ζῶα; ἡ δὲ ἀπεκρίνατο· ἦν τις λαὸς καὶ πλῆθος πραγματευτῶν ἀπερχόμενον ἐπί τινα πραγματείαν. ἦσαν δὲ ἐν ἐκείνοις καὶ μουλάρια πολλά. νυκτὸς δὲ καταλαβούσης ἔφθασαν εἰς ξενοδοχεῖον κἀκεῖ ἀνέπεσον κοιμηθῆναι· καὶ τὴν θύραν τοῦ οἴκου ἐπελάθοντο σφαλίσαι. καὶ κατὰ τὴν νύκτα εἰσῆλθε λέων εἰς τὸ πανδοχεῖον καὶ μέσον τῶν μουλαρίων ἀνέπεσε, μηδεμίαν ταραχὴν ποιησάμενος. καὶ οὐδεὶς τῶν πραγματευτῶν κατενόησε. μετὰ δέ τινα ὥραν εἰσῆλθέ τις κλέπτης εἰς τὸ πανδοχεῖον κλέψαι ἐκ τῶν μουλαρίων. καὶ
p. 72 δὴ σκοτείας οὔ|σης μὴ βλέπων ἐψηλάφα τὸ πατερὸν τῶν ὑποζυγίων καὶ λεληθότως τοῦ λέοντος ἥψατο. καὶ παχὺν τοῦτον κατανοήσας ὡς μουλάριον, ἐκάθισεν ἐπάνω

---

2 προ|σχὼν ὁ κύρος 4 παλακὴ 7 καὶ posterius addidi ib. (βε)βραβευκέναι? Syrus Bäthgeni: «gleichwie er einem Manne über einen Löwen und Affen zum Siege verholfen hat» 9 οἳ καὶ addidi 10 ἐτύχανον (γ suprascr.) ib. ἐπί τῖνα 11 sq. κατασφαλῆσαι 12 ἐλθών? 15 αὐτόν 16 σύλησι (ε suprascr.) 21 παλακὴ F 24 ὡς seclusit Ebh. 26 ἐν ἐκείνοις] cf. p. 49, 25 25 lemma: διήγησις γυναικός 28 σφαλῆσαι F 32 σκοτίας Ebh. ib. πάτερον F

ὑπετόπασεν. καὶ αὐτίκα τούτου ἐπιβὰς ἐξῄει τοῦ πανδοχείου. αὐτοῦ δὲ ἐξερχομένου καθ' ἑαυτὸν ὁ λέων ἐφθέγγετο· οὗτός ἐστιν ἀληθῶς ὃν τῆς νυκτὸς φύλακα λέγουσιν καὶ αὐτός μου ἐπιβέβηκεν. καὶ ταῦτα λέγων ἐδεδίει μᾶλλον τὸν κλέπτην καὶ παρ' ὅλην τὴν νύκτα τοῦτον διαβαστάζων δρομαῖος ἐπορεύετο. καὶ ὁ ἀνὴρ δὲ λέοντι ἐποχεῖσθαι διαγνοὺς τοῦτον ἐπτοήθη τὰ μέγιστα μήπως αὐτοῦ κατάβρωμα γένηται. πρωίας δὲ γενομένης ἔτυχε τὸν λέοντα ὑπό τι δένδρον διέρχεσθαι· καὶ δὴ τὸ τάχος ὁ ἀνὴρ τὴν δεξιὰν ἐκτείνας τοῖς τοῦ δένδρου κλάδοις ἑαυτὸν ἀπῃώρησεν, ἔπειτα δὲ καὶ τοῦ δένδρου ἐπαναβὰς τὸν τοῦ λέοντος διέφυγε κίνδυνον. καὶ ὁ λέων τὸν τοιοῦτον ὑποδειλιῶν φυγὰς εὐθὺς ᾤχετο. τούτου πορευομένου πίθηξ αὐτῷ συναντᾷ, καὶ ἐπηρώτα τὸν λέοντα· τί οὕτω περιδεὴς καὶ ἔμφοβος τυγχάνεις; ὁ δὲ λέων ἀπεκρίνατο· ὁ τῆς νυκτὸς φύλαξ λεγόμενος κατασχών με καὶ ἐπιβάς μου παρ' ὅλην διήλαυνεν τὴν νύκτα. ὁ δὲ πίθηξ, καὶ ποῦ ἐστιν, ἔφη, ἐκεῖνος; ὁ δὲ λέων, ἀπέναντι τῶν ὀφθαλμῶν ἡμῶν ἐπ' ἐκείνου, φησί, τοῦ δένδρου κεκάθικεν. ὁ δὲ πίθηξ εὐθὺς ἐπ' ἐκεῖνο ἐπορεύθη τὸ δένδρον τὸν ἄνδρα ὀψόμενος. ὁ δὲ λέων μακρόθεν ἑστὼς ἐνητένιζεν τῷ πίθηκι, τοῦ ἰδεῖν τί ἐκεῖνος παρὰ τῷ ἀνδρὶ δράσαιτο. τοῦ μέντοι πίθηκος τῷ δένδρῳ ἐπαναβάντος ὁ ἀνὴρ ἀμφότερα ἐπτοήθη τὰ ζῷα καὶ ὑπὸ τοῦ συνέχοντος αὐτὸν δέους ἀγωνιῶν τὴν τοῦ δένδρου σχισμάδα παραχρῆμα εἰσέδυ. ὁ δὲ πίθηξ τῇ χειρὶ τῷ λέοντι ὑπεσήμανε, τοῦ αὐτὸν παραγενέσθαι καὶ ἀποκτεῖναι τὸν ἄνδρα. καταλα-

RETRACTATIO.

αὐτοῦ. ἐξερχομένου δὲ τοῦ κλέπτου ἐπάνω τοῦ λέοντος ὁ λέων καθ' ἑαυτὸν ἔλεγεν· ἀληθῶς οὗτος ἐστὶν ὁ δαίμων, ὃν λέγουσι τῆς νυκτὸς εἶναι φύλακα· διὸ καὶ ἐπάνω μου καθέσθη. καὶ ταῦτα λέγων ὁ λέων καθ' ἑαυτὸν ἐφοβεῖτο τὸν κλέπτην καὶ δι' ὅλης τῆς νυκτὸς τὸν κλέπτην βαστάζων ἐπορεύετο. ὁ δὲ κλέπτης ἐπιγνοὺς ἐπικαθέζεσθαι λέοντι ἐφοβήθη μή πως αὐτὸν διασχίσῃ καὶ τροφὴν ἰδίαν ποιήσεται. πρωίας δὲ γενομένης ἔτυχεν ὁ λέων ὑποκάτω δένδρου διέρχεσθαι· καὶ διὰ συντόμως ὁ κλέπτης ἐκτείνας τὴν δεξιὰν τοῖς τοῦ δένδρου κλάδοις ἑαυτὸν ἐκρέμασε καὶ ἀναβὰς εἰς τὸ δένδρον τὸν τοῦ λέοντος κίνδυνον διέφυγε. καὶ ὁ λέων πάλιν ὡς φύλακα τῆς νυκτὸς φοβούμενος συναπῆλθε σπουδῇ. ὅπου καὶ ὁ πίθηξ αὐτῷ συναντᾷ, καὶ ἠρώτησε τὸν λέοντα· τί οὕτως ὑπάρχεις φοβούμενος καὶ τρέμων; ὁ δὲ | λέων ἀπεκρίνατο· ὁ τῆς νυ- p. 73
κτὸς φύλαξ λεγόμενος ἐμὲ πιάσας ὅλην τὴν νύκτα ἐπάνω μου φερόμενος ἔσυρέ με καὶ ὁ πίθηξ, ποῦ ἐστιν ἐκεῖνος; ἔφη. καὶ ὁ λέων· ἐπάνω τοῦ δένδρου ἐκάθισεν τοῦ ἡμῶν ἔμπροσθεν ὄντος. ὁ δὲ πίθηξ εὐθὺς ἐπ' ἐκεῖνο τὸ δένδρον ἀπῆλθε. καὶ ὁ λέων μακρὰν ἵστατο βλέπων τί ἄρα γένηται. τοῦ μέντοι πίθηκος τοῦ δένδρου ἐπαναβάντος ὁ κλέπτης ὁμοῦ ἐφοβήθη τοὺς δύο καὶ ὑπὸ τοῦ φόβου τῶν δύο ζώων ἀγωνιζόμενος εἰς τὴν σχισμάδα τοῦ δένδρου εἰσῆλθε. ὁ δὲ πίθηξ τῇ χειρὶ τὸν λέοντα ἔνευε, τοῦ ἐλθεῖν καὶ ἀποκτεῖναι τὸν ἄνδρα. ἐλθὼν τοίνυν ὁ λέων ἐκεῖσε ἵστατο κάτω τοῦ δένδρου. ὁ

4 νύκταν 5 δὲ] τεδε 10 et 12 et 14 πίθαξ, quod huic codici soli credere nolui 20 αὐτοῦ] «num excidit καὶ ἐξήλασεν?» Ebh. Facilius excidere poterat καὶ ἐξήλασεν (sive ἐξῄει) τοῦ πανδοχείου 22 sq. καὶ δι' ὅλης τῆς νυκτὸς in F bis scripta 24 διασχίσει Boiss. 25 συντόμων Boiss.; cf. p. 81 B. 27 ὡς] ὡς ὁ D, ὡς τὸν Ebh. 28 ὁ delendum

βῶν δὲ τὰ ἐκεῖσε ὁ λέων ἔστη κάτωθεν τοῦ δένδρου. ὑπῆρχεν δὲ ὁ πίθηξ τοὺς τῶν ἀναγκαίων διδύμους εὐμεγέθεις ἔχων, οὓς καὶ ἰδὼν ὁ ἀνὴρ μικρὸν ἀνεθάρσησε, καὶ ἄφνω τούτους περισχὼν δεσμοῖς περιέσφιγξεν. καὶ αὐτίκα ὁ πίθηξ τῆς ζωῆς ἀπερράγη καὶ τοῦ δένδρου ἀποπέπτωκεν. ὁ δὲ λέων ἰδὼν αὐτὸν πικρῶς ἀπολωλότα καθ' ἑαυτὸν ἔλεγε ὡς· ἀληθῶς ὁ τῇ νυκτὶ ἐλάσας με. . . . . ὀξύτατα ἀπέδρα. καὶ οὕτως ἀμφοτέρων ζῴων ὁ ἀνὴρ περιεγένετο. καὶ κατ' αὐτὸν γοῦν τὸν τρόπον κἀγώ, βασιλεῦ, πέποιθα ἐπὶ τὴν θείαν δύναμιν ὡς δῴη ἡμῖν κατὰ τῶν φιλοσόφων περιγενέσθαι, ὅτιπερ σοῦ καὶ ἐμοῦ τοσαύτην μέσον τιθέασι σύγχυσιν. τοῦτο δέ μοι θεόθεν εὔχομαι, εἰ μή τι γε, βασιλεῦ, σύ με διεκδικήσεις ἐφ' οἷς ἐνυβρισθῆναι παρὰ τοῦ υἱοῦ σου ἐβιαζόμην.
B f. 85 | τούτοις τὴν καρδίαν ἀλγήσας ὁ βασιλεὺς κελεύει τὸν υἱὸν αὐτοῦ ξίφει ὑποβληθῆναι.

Ὁ δὲ τοῦ βασιλέως ἕκτος φιλόσοφος σύμβουλος τὴν τοιαύτην κατὰ τοῦ υἱοῦ αὐτοῦ ἐξενεχθῆναι ἀπόφασιν μαθὼν εἰσέρχεται πρὸς αὐτὸν ὥρᾳ ἕκτῃ, καὶ προσκυνήσας φησί· βασιλεῦ, ζῆθι εἰς τὸν αἰῶνα καὶ ἐπὶ μακροὺς χρόνους ἡ ἐξουσία σου διαμείνοιε. γνῶναι δέ σου τὸ κράτος δουλοπρεπῶς ἀξιῶ ὡς εἰ μὴ τὸ παράπαν υἱός σοι ἐτύγχανεν, ἔδει σε διαπύρως ἔτι δυσωπῆσαι τὸ θεῖον τοῦ παιδίον γεννηθῆναί σοι ὥστε τοῦτον κληρονόμον τῆς βασιλείας καταλιπεῖν· νυνὶ

RETRACTATIO.

δὲ πίθηξ ὑπῆρχεν ἔχων ὄρχεις λίαν μεγάλους· καὶ ὁ ἀνὴρ ὡς εἶδεν αὐτοὺς ὀλίγον θάρσος ἀνέλαβε, καὶ ἐξαίφνης σφικτῶς πιάσας τοὺς ὄρχεις τοῦ πίθηκος ἔδησε. καὶ ἅμα ὁ πίθηξ ἀπέθανε πεσὼν κάτω. καὶ ὁ λέων ἰδὼν αὐτὸν πεσόντα νεκρὸν ἔλεγε καθ' ἑαυτόν· ἀληθῶς ὡς ὁ τῇ νυκτὶ ἐμὲ σύρων φύλαξ αὐτὸς καὶ τοῦτον ἀπέκτεινε. καὶ
p. 74 συντόμως ἔφυ|γεν. οὕτως ὁ ἀνὴρ τὰ δύο ζῷα νικήσας ἠλευθερώθη. κατὰ τοῦτον τὸν τρόπον θαρρῶ κἀγώ, βασιλεῦ, εἰς τὴν δύναμιν τοῦ θεοῦ, ὅτι δώσει κἀμοὶ νικῆσαι τοὺς φιλοσόφους, ὅτι περ μέσον σοῦ καὶ ἐμοῦ τοσαύτην ἔθηκαν σύγχυσιν. τοῦτο δὲ ἐγὼ ἀπὸ θεοῦ δέομαι δοθῆναί μοι, ἐὰν μὴ σύγε, ὦ βασιλεῦ, ἐκδικήσῃς ἐφ' οἷς ἔργοις ἠναγκάσθην ὑβρισθῆναι παρὰ τοῦ υἱοῦ σου. τούτοις πάλιν τοῖς λόγοις ὁ βασιλεὺς τρωθεὶς τὴν καρδίαν ὥρισε τὸν υἱὸν αὐτοῦ ἀποκτανθῆναι πάλιν.

Καὶ ὁ τοῦ βασιλέως ἕκτος σύμβουλος καὶ φιλόσοφος τὴν τοιαύτην μαθὼν ἀπόφασιν πρὸς τὸν βασιλέα εἰσέρχεται ὥρᾳ ἕκτῃ, καὶ προσκυνήσας, ζῆθι, βασιλεῦ, ἔφη, εἰς τὸν αἰῶνα καὶ ἐπὶ μακροὺς χρόνους ἡ ἐξουσία σου διαμένοιε. γινώσκειν δέ σου τὸ κράτος δουλοπρεπῶς ἀξιῶ ὅτι ἐὰν μηδόλως ἔτυχεν υἱὸν ἔχειν σε, ἔδει μετὰ πολλῆς ἀγάπης καὶ θερμῆς καρδίας καὶ ἐπιμόνου παρακλήσεως παρα-
p. 75 καλεῖν τὸν θεὸν τοῦ δοῦναί σοι παιδίον, ὡς ἔχειν | τοῦτο κληρονόμον καὶ διάδοχον τοῦ

---

4 ἀπεράγη 5 ἀληθῶς inserui auctoribus Syro («Wahrhaftig, der den Affen getödtet hat, das ist der, der mich die ganze Nacht hat laufen lassen» Bäthgen) et metaphrasta ib. ὁ τῇ] ὅτϊ ib. significavi lacunam 6 sq. ὁ ἀνήρ, ἃ περϊεγένετο 14 ὥρᾳ ἕκτῃ pro ἡμέρᾳ ἕκτῃ vel κατὰ τὴν ἕκτην ἡμέραν scriptum nescio an ipsius scriptoris errori debeatur 17 δϊαπείρως 20 σφικτῶς] φρικτῶς EF 22 immo ἑαυτόν ὡς· ἀληθῶς (Boiss. ἑαυτὸν ἀληθῶς ὡς·) 26 μή] μοι F 27 τοῖς om. D 28 πάλιν cum eis quae sequuntur coniungere malim 29 lemma: ἕκτου φιλοσόφου λόγοι συμβουλῆς

δὲ παῖδα ἔχων πειρᾶσαι τοῦτον ἀνελεῖν σκαιοτρόπου γυναικὸς διαβολῇ, καὶ ταῦτα μήπω εἰδὼς κἂν θανάτου ὁ παῖς ἔνοχος κἂν ἀθῷος πέφυκε· καὶ ὅτιπερ εἰ τοῦτον ἀσυζητήτως ὀλέσεις, καιρίαν ἐσύστερον ἐπισπάσῃ τὴν λύπην, καί σοι προσγενήσεται ὥσπερ δή τινι ἐπισυνέβη περιστερᾷ. λέγεται γὰρ περὶ ἐκείνης ὅτι τοῖς γηδίοις παρεδρεύουσα καθ' ὃν καιρὸν ἐθερίζοντο διετέλει κατόπιν τῶν θεριστῶν τὸν ἀποπίπτοντα σῖτον συλλέγουσα καὶ ἐσθίουσα, ἡνίκα δὲ ἐκορέννυτο, τὸ περιττεῦον τῆς συλλογῆς ἐπί τινα θυρίδα μετακομίζουσα. μιᾷ γοῦν κατὰ τὸ αὐτῆς σύνηθες μετεκόμιζε τὸν αὐτῇ περιττεύσαντα σῖτον καὶ τῇ θυρίδι τοῦτον ἐναπετίθει, ἕως οὗ πλήρης ἡ θυρὶς ἐγεγόνει· εἶτα φησὶ πρὸς τὴν ἰδίαν ὁμόζυγον ὡς· μηδεὶς ἡμῶν προσεγγίσῃ τῷδε τῷ ἀποτεθέντι παρ' ἐμοῦ σίτῳ ἄχρις ἂν ὁ τοῦ χειμῶνος ἐπισταίη καιρός, ὅτε μὴ ἔσται τὸ παράπαν ὁ σῖτος ἐφευρισκόμενος καὶ ἐκ τούτου τοῦ ἀποτεθέντος ἀμφότεροι διατραφῶμεν. ἡ δέ γε ὁμόζυγος πρὸς τὸν ἄρρενα ἔφη· καλῶς τοῦτο καὶ συμφερόντως μεταξὺ ἡμῶν διεστείλω καὶ οὕτως ὡς ἔφησας γενέσθω. ἔκτοτε γοῦν ἀμφότεραι αἱ περιστεραὶ ἐν τοῖς ἔξω διόλου περιήρχοντό τε καὶ ἐνέμοντο. τοῦ δὲ ἡλίου διηνεκῶς ἐκείνῃ τῇ θυρίδι ἐπιλάμποντος ἀπεξηράνθη ὁ ἐν αὐτῇ ἀποτιθέμενος σῖτος, καθότι ἐν τῷ θερισμῷ ποσῶς ὑπῆρχεν ὑποχλοάζων. καὶ δὴ ἐν μιᾷ τῶν ἡμερῶν ἡ ταῦτα

RETRACTATIO.

κράτους σου· νῦν δὲ παῖδα ἔχων πειρᾶσαι τοῦτον φονεῦσαι συμβουλῇ κακογνώμου γυναικός, καὶ ταῦτα μὴ γινώσκων εἴτε αἴτιός ἐστιν ὁ παῖς θανάτου εἴτε καὶ μή. καὶ ἐὰν τοῦτο ὃ λέγεις ἀνεξετάστως γένηται, ἐς ὕστερον σὺ θανατηφόρον ἐπιλήψῃ τὴν λύπην, ὥστε σχεδὸν ὑπὸ τῆς λύπης ἑαυτὸν διαχειρίσῃς· ἀλλὰ καὶ γενήσεταί σοι ὥσπερ δή τινι συνέβη περιστερᾷ. λέγεται γὰρ περὶ ἐκείνης ὅτιπερ κατῴκει πλησίον τῶν χωραφίων· καὶ κατὰ τὸν καιρὸν τοῦ θέρους ἐκείνων τῶν χωραφίων ὑπῆρχεν ἡ περιστερὰ ἀκολουθοῦσα ὄπισθεν τῶν θεριστῶν, συνάγουσα τὸν σῖτον καὶ ἐσθίουσα. ὡς δὲ ἐχόρτανε, τὸ περισσὸν σιτάριον ἐσύναξεν εἴς τινα τρύπαν τοῦ τοίχου. μιᾷ γοῦν τῶν ἡμερῶν φέρουσα ἡ περιστερὰ κατὰ τὴν συνήθειαν σιτάριον, ἵνα θήσῃ καὶ αὐτὸ εἰς τὴν ὀπὴν ἐκείνην τοῦ τοίχου, ἐγένετο γεμίσαι τὴν τρύπαν· καὶ λέγει τὸ ἀρσενικὸν περιστέριν πρὸς τὸ θηλυκόν· πρόσεξον· μηδεὶς ἀφ' ἡμῶν προσεγγίσῃ | τῷδε τῷ σίτῳ, ἕως ὁ τοῦ p. 76
χειμῶνος ἔλθῃ καιρός, ὅταν οὐκ ἔστι ποσῶς σιτάριν εὑρεῖν. τότε καὶ αἱ δύο ἀμφότεραι διατραφῶμεν ἐκ τοῦδε τοῦ σιταρίου. ἡ δὲ θήλεια πρὸς τὸ ἀρσενικὸν εἶπε· καλῶς τοῦτο καὶ συμφερόντως μέσον ἡμῶν ἐφύλαξας τοῦτο, καὶ οὕτω ποιήσομεν ὡς εἶπας. καὶ ἔκτοτε αἱ περιστεραὶ ἔξω ἐβόσκοντο. τοῦ δὲ ἡλίου λάμποντος τῇ ὀπῇ ἐκείνῃ ἐξηράνθη σφοδρῶς ὁ σῖτος, διότι χλωρὸς ἦν ὅτε συνήγετο. καὶ δὴ ἐν μιᾷ τῶν ἡμερῶν ἐλθοῦσα ἡ

3 ὃ λέγεις, καὶρίαν 4 παρ' ἐκείνης 5 ὅτι addidi ib. καὶρὸν 8 μετεκόμιζε τὸν] μετεκόμιζεν 9 ἐνχπετέθη 10 προσεγγίσει 13 ἄρενα m. pr. 14 διέστιλας m. pr. 16 ἀποτεθειμένος? an ἀποτεθεὶς? 17 ἡμερῶν] ὡς pro ῶν m. pr. 19 καὶ secundum add. F 20 in ὃ λέγεις metaphrastes cum non intellexisset latere ὀλέσεις, propagavit mendum refictis ceteris ib. ἐσύστερον F «ut saepe» (Ebh.) 22 lemma: διήγησις ib. τῶν] τινῶν Ebh. 25 σιτάρι D 26 σι^{τρ} EF, σιτάρι D 28 τῷ om. D 29 de καὶ αἱ δύο ἀμφότεραι cf. quae supra ad p. 51, 23 monui 30 σίτου D 31 ἐφύλαξας] φυλάξαι ἔταξας Ebh. ib. τοῦτο] τοῦτος D, delebat Boiss., ὢ οὗτος Ebh. Nunc apparet alterum potius τοῦτο (31) delendum esse 32 ἐπιλάμποντος? Ebh.

κομίσασα περιστερὰ τῇ θυρίδι ἐφίσταται τοὺς ἐκεῖσε κόκκους θεασομένη καὶ εὑρίσκει τούτους ἐλλιπεῖς κατὰ πολὺ γεγονότας ὑπὸ τῆς ξηρότητος. λέγει οὖν πρὸς τὴν ὁμόζυγον· τί ἐστι τοῦτο ὅπερ νῦν τεθέαμαι; οὐ διενετειλάμην σε μηδόλως τούτοις ἡμῶν προσψαύειν τοῖς σιτίοις; ἡ δ᾽ ὁμόζυγος, καὶ οὐχ ἡψάμην αὐτῶν, ἀπεκρίνατο. ἡ δὲ οὐδαμῶς τῇ ὁμοζύγῳ πεπίστευκεν, ἀλλὰ μᾶλλον κατ᾽ αὐτῆς ἀγριάνασα πλήττει θρασέως ταύτην καὶ τῆς ζωῆς ἀπορρήγνυσι, καὶ μονωτάτη καταλιμπάνεται. ἐπιστάντος δὲ τοῦ χειμῶνος καὶ πολλῶν ὑετῶν τε καὶ νιφετῶν καταφερομένων πάλιν ὁ ἀποτεθεὶς σῖτος ἐκεῖνος τῇ τοῦ ἀέρος ὑγρότητι νοτισθεὶς ὅλην ἐκείνην ὡς τὸ πρότερον τὴν θυρίδα πεπλήρωκεν. ὅπερ θεασαμένη ἡ περιστερὰ τὴν αἰτίαν τῆς ἐλλείψεως καὶ τῆς ὡς πρῴην ὑστέρας ἀναπληρώσεως καθ᾽ ἑαυτὴν ἐπέγνω, καὶ τὸ ἀπ᾽ ἐκείνου. πικρῶς ἐπὶ τῇ ἀπωλείᾳ τῆς ὁμο-
B f. 86 ζύγου μετεμέλετο, οὐδὲν δὲ τῆς μετα|μελείας ἀπώνατο. οὕτως οὖν ἐπίσταμαι, ὦ βασιλεῦ, ὡς εἴπερ καὶ σὺ τὸν υἱόν σου διαχειρίσῃ ἐκ ψιλῆς διαβολῆς τοῦ καταράτου τοῦδε γυναίου, καὶ ταῦτα μὴ εἰδὼς εἰ ἐκεῖνος κατάκριτος ταῖς ἀληθείαις πέφυκεν, συμβήσεται καὶ τῷ σῷ κράτει ὡς ἐκείνῃ τῇ περιστερᾷ συμβέβηκεν, καὶ τοῖς κέντροις τῆς μεταμελείας χαλεπῶς ἔσῃ νυττόμενος καὶ οὐδέν σοι ἐντεῦθεν γενήσεται ὄφελος. καὶ ἄλλης δέ μου διηγήσεως ἄκουσον, ὦ βασιλεῦ, περὶ τῶν γυναικείων δηλούσης σοι πανουργευμάτων.

RETRACTATIO.

περιστερά, ἥτις ἔθηκε τὸν σῖτον, βλέπει τοὺς κόκκους ὀλίγους ὑπὸ τῆς ξηρότητος καὶ λέγει πρὸς τὴν θήλειαν· τί ἔνι τοῦτο ὃ θεωρῶ; οὐκ εἶπόν σοι ἵνα μηδεὶς ἡμῶν ἅψηται τούτου τοῦ σίτου; καὶ ἡ ὁμόζυγος ἔφη· οὐχ ἡψάμην αὐτῶν οὐδόλως. ὁ δὲ ἄρρην μηδαμῶς πιστεύσας τὴν θήλειαν περισσοτέρως ἄγριος ἦν, καὶ ἰσχυρῶς κρούει ταύτην καὶ τῆς ζωῆς διακόπτει. καὶ ἀπέμεινε μοναχὸς ὁ ἀρσενικός. τοῦ δὲ χειμῶνος ἐλθόντος
p. 77 καὶ πολλῶν βροχῶν γε|νομένων καὶ χιόνος κατενεχθείσης πάλιν ὁ κεκρυμμένος σῖτος τῇ τοῦ ἀέρος ὑγρότητι διανοτισθεὶς ὅλην ἐκείνην τὴν θυρίδα ἐγέμοσεν ὡς τὸ πρότερον. καὶ τοῦτο ἰδοῦσα ἡ περιστερὰ ἐνόησε τὴν αἰτίαν τῆς ἐλλείψεως καὶ τῆς ὕστερον τοῦ σίτου ἀναπληρώσεως, καὶ πικρῶς ἔκλαιε μεταμελόμενος ἐπὶ τῷ θανάτῳ τῆς ὁμοζύγου, οὐδὲν δὲ ἀπὸ τῆς μεταμελείας ὠφελήθηκεν. τὸν ἴσον τρόπον οὖν οἶδα, ὦ βασιλεῦ, ὅτι καὶ σὺ ἐὰν τὸν υἱόν σου φονεύσῃς ἐκ μόνης διαβολῆς τοῦ καταράτου γυναίου, καὶ ταῦτα μὴ γινώσκοντός σου εἰ ἐκεῖνος ταῖς ἀληθείαις κατάκριτος ὑπάρχει καὶ ἔνοχος θανάτου ἐστί, συμβήσεται καὶ τῷ σῷ κράτει ὡς ἐκείνῃ τῇ περιστερᾷ συμβέβηκε, καὶ τοῖς κέντροις τῆς μεταμελείας χαλεπῶς ἔσῃ κεντούμενος καὶ οὐδεμία σοι ἀπὸ τούτου ὠφέλεια προσγενήσεται, ἀλλὰ μᾶλλον βλάβη πρὸς θάνατον. καὶ ἄλλης δέ μου διηγήσεως ἄκουσον, ὦ βασιλεῦ, δηλοποιούσης σαφέστατα περὶ τῶν γυναικείων πραγμάτων, ἤγουν τῶν πανουργιῶν.

---

1 κόκους 2 a vv. λέγει οὖν orditur cod. C 3 διεστειλάμην (τ supra versum) σοι C 5 αὐτῷ C 6 θαρσέως B 9 ὅπερ] ὅθεν pro ὅ B pr. 10 ὑστερᾶς B, ὕστερον Ebh. 11 ἑαυτόν (sic) C ib. ἐπέγνω] ἐπάνω B pr. 12 μετεμέλλετο B 13 σου om. B 14 sqq. καὶ ταυτά τι τοιουτο μὴ εἰδότος ἐκείνου, καὶ τῷ σῷ κράτει ὡσαύτως συμβήσεται ὡς τῇ εἰρημένῃ περιστερᾳ καὶ τοῖς C 16 sq. ἀλλ᾽ οὐδέν σοι ὄφελος ἔσται C 18 σοι δηλούσης πανουργιῶν C 19 sq. ξηρότητος ὃ θεωρῶ D mediis omissis 24 κεχρυμένος F 25 ἀγρότητι F ib. ἐγέμωσεν Ebh.

Ἀνὴρ γάρ τις ἦν γεωργικὴν μετερχόμενος ἐπιστήμην. οὗτος οὖν ἐν μιᾷ ἐξέρχεται ἐπὶ τὸν αὐτοῦ ἀγρὸν κατασπεῖραι αὐτόν. περὶ δέ γε τὴν ὥραν τοῦ ἀρίστου ἡ τοῦ γεωργοῦ σύζυγος ὄψα αὐτῷ παρητοίμασεν ὄρνιθός τε καὶ μελιπήκτου ἐδέσματος, ἃ καὶ σπυρίδι ἐνθεῖσα πρὸς τὸν ἄνδρα ἐκόμιζεν. συνέβη δὲ πορευομένην αὐτὴν διά τινος καταλύματος διελθεῖν. εὐθὺς δέ τινες ἐκεῖθεν ὁδοστάται ἐξορμήσαντες κατέσχον τὴν γυναῖκα καὶ ἐν ἐκείνῳ εἰσαγαγόντες τῷ καταλύματι βιαίως αὐτῇ συνεγένοντο καὶ ἃ διεκόμιζεν ὄψα ἀφελόμενοι κατέδοντο. μικρὸν δέ τι τοῦ μελιπήκτου ἐδέσματος ἐσύστερον λιπόντες καὶ εἰς μόρφωσιν ἐλέφαντος τὸ καταλειφθὲν ἐπισκευάσαντες τῇ σπυρίδι ἐναπέθεντο, μηδέν τι περὶ τοῦδε εἰδυίας τῆς γυναικός, καὶ τὴν σπυρίδα κατεκάλυψαν. ἡ δὲ γυνὴ ταύτην ἀνελομένη κεκαλυμμένην ὡς τὸ πρότερον τυγχάνουσαν καὶ ἀγνοοῦσα ὡς τὰ ἐν αὐτῇ ὄψα παρ' ἐκείνων ἐβρώθησαν πρὸς τὸν ἄνδρα ἀπεκόμισε. καὶ τὴν σπυρίδα πρὸ τῶν ἐκείνου ὀφθαλμῶν αὐτῆς καταθεμένης ἐκεῖνος αὐτὴν εὐθὺς ἀνακαλύπτει, καὶ ὁρᾷ μηδὲν ἕτερον ἔχουσαν ἢ μόνον τὸ μελίπηκτον ἔδεσμα τὸ τὴν μορφὴν

RETRACTATIO.

|Ἀνήρ τις ἦν γεωργός. οὗτος οὖν μιᾷ τῶν ἡμερῶν ἐξῆλθε τοῦ σπεῖραι τὸ χωρά- p. 78
φιον αὐτοῦ. ἡ δὲ γυνὴ αὐτοῦ ἑτοιμάσασα ἑψητὰ μαγειρεύματα, καὶ ὄρνιθα καὶ μελίπυκτον ἔδεσμα, ἐν σπυρίδι ἐνθεῖσα πρὸς τὸν ἄνδρα ἐκόμιζε. συνέβη δὲ αὐτὴν πορευομένην διαβῆναι ἀπό τινος ξενοδοχείου, ἐν ᾧ ἦσαν ἄνθρωποι ὁδοιπόροι ἀναπαυόμενοι. καὶ ὡς εἶδον τὴν γυναῖκα, ἐκράτησαν αὐτὴν καὶ ἔσω τοῦ ξενοδοχείου εἰσάξαντες ἅπαντες συνεμίγησαν καὶ τὰ βρώματα ἅπαντα ἔφαγον. ὀλίγον δὲ ἀπὸ τὸ μελίπικτον ἤγουν τὴν μουστόπιτα, ἀφέντες κατεσκεύασαν αὐτὸ εἰς εἶδος καὶ μορφὴν ἐλέφαντος, καὶ ἔθηκαν αὐτὸ ἐν τῇ σπυρίδι, μὴ εἰδυίας ὅλως τῆς γυναικὸς περὶ τούτου, καὶ τὴν σπυρίδα σκεπάσαντες ἀφῆκαν αὐτὴν ἀπελθεῖν. ἡ δὲ λαβοῦσα τὴν σπυρίδα ὡς τὸ πρότερον σκεπασμένην, μὴ εἰδυῖα ὅτι κατέφαγον ἅπαντα, ἀπῆλθε πρὸς τὸν ἄνδρα φέρουσα ταῦτα. ὁ δὲ ἀποσκεπάσας τὴν σπυρίδα οὐδὲν ἄλλο ἐν αὐτῇ βλέπει ἢ τὴν μουστόπιτα καὶ πρὸς τὴν γυναῖκα φησίν· ὦ γύναι, τί τοῦτο; ἡ δὲ θεασαμένη τοῦτο, p. 79
εὐθὺς τὸ ἐπ' αὐτῇ γεγονὸς πανούργως διαμηχανᾶται καὶ ψευδοτοποιεῖ, καὶ φησὶ πρὸς τὸν ἄνδρα· ἔδοξέ μοι ἐν ὕπνοις καθῆσθαί με ἐπάνω ἐλέφαντος, καὶ πεσοῦσα ἐκ τοῦ

1 Ἀνήρ τις C ib. μετιὼν C 2 εἰς τὸν ἀγρὸν αὐτοῦ τοῦ κατασπεῖραι αὐτόν C 3 ὄψα ἡτοίμασεν C 3 sq. μελιπῖκτου B sibi constans 4 καὶ] δὴ C ib. ἐκόμιζε C ib. συνέσει B 5 καταλύμματος B. cf. quae supra ad p. 25,17 dixi («Ruine» hic quoque Syrus Bäthgeni) 5 sq. ἐλθοῦσαν δὲ ὁδοστάται ποθέν τινες ἐξορμήσαντες κατέσχον αὐτὴν C ib. ὁδωστᾶται B 6 sq. καταλύμματι B 7 κατήδοντο ἀφελόμενοι C 8 ἐς ὕστερον λειπόντες B, ὕστερον καταλιπόντες C 9 τὸ] τουτὶ τὸ C ib. μηδέ τι B 10 εἰδύας B ib. ἐναπεκάλυψαν C 11 ὡς — τυγχάνουσαν] οὖσαν ὡς πρότερον C 12 ὄψα ἀπ' ἐκείνων ἐβρώθησαν B, παρ' ἐκείνων ὄψα ἐβρώθη C, qui ita pergit: τὴν σπυρίδα πρὸ τῶν τοῦ ἀνδρός αὐτῆς ἀποθεῖσα ὀμμάτων διέστη βραχύ. ὁ δ' ἀνὴρ αὐτῆς ἐκκαλύπτει καὶ ὁρᾷ 14 post ἔχουσαν C add. τὴν σπυρίδα ib. τὸ posterius om. B 15 DE (F iam supra p. 56, 34) habent lemma: ἑτέρα διήγησις τοῦ αὐτοῦ ἕκτου φιλόσοφου 16 sq. μελίπηκτον Boiss. hic et infra v. 20 Ducangium (s. v. μουστόπιττα) secutus 20 πάντα D ib. μελίπικτον D 23 sq. τὸ πρώτως D ut p. 9, 20 27 ψευδοποιεῖ Ebh., cui facile concedimus ψευδοτοποιεῖ ex duabus scripturis ψευδοποιεῖ et ψευτοποιεῖ confusis ortum videri, quamquam etiam de ψευδοτυποῖ cogitari potest 28 sq. ἐπάνω ἐλέφαντος συμπατηθῆναι mediis omissis D

φέρον τοῦ ἐλέφαντος. ὅπερ ἰδών, τί τοῦτο, γύναι; πρὸς τὴν σύζυγον ἔφησεν. ἡ δὲ ὄψεις τῷ ὁρωμένῳ ἐπιβαλοῦσα εὐθὺς τὸ αὐτῇ συμβεβηκὸς δρᾶμα διαμηχανᾶται καὶ φησὶ πρὸς τὸν ἄνδρα ὡς· τῇ νυκτὶ ταύτῃ καθευδούσης μου ἔδοξα κατ' ὄναρ ἐλέφαντι ἐποχεῖσθαί με καὶ τούτου ἐξολισθήσασαν τοῖς αὐτοῦ ποσὶν συμπατηθῆναι. ἔξυπνος δὲ γενομένη πολλῷ τῷ φόβῳ συνειχόμην καὶ αὐτίκα πρὸς τὸν ὀνειροκρίτην τὸ τάχος ἐπορεύθην καὶ αὐτῷ τὰ ὁραθέντα διηγησάμην· ὁ δὲ εὐθὺς τὸ ὄναρ διέλυσεν καί μοι ἐνετείλατο εἰπών· ὡς ἐλέφαντος μορφὴν χρή σε, ὦ γύναι, ἐκ μελιπήκτου παρασκευάσαι ἐδέσματος καὶ τῷ ἀνδρί σου εἰς βρῶσιν ἀποκομίσαι, ὅπως τὸ ὄναρ τοῦτο ἀκινδύνως σοι διαλυθείη. καὶ ἰδοὺ κατὰ τὰς ὑποθήκας ἐκείνου, ὡς ὁρᾷς, πεποίηκα, σὺ δὲ λοιπόν, ὦ ἄνερ, προθυμότατα φάγε, ὡς ἂν μηδείς μοι προσγενήσεται κίνδυνος. ἐκεῖνος δὲ αὐτίκα τὸ μελίπηκτον ἐδηδόκει. καὶ οὕτως ἡ γυνὴ πρὸς τὸν ἄνδρα προφασισαμένη τὸ ἀνύποπτον ἑαυτῇ ἐφ' οἷς προεπεπόνθει παρὰ τῷ συνεύνῳ περιεποιήσατο· πᾶσι γὰρ οἷς λε-
B f. 87 λάληκεν ἀναμφιλέκτως ἐκεῖνος πεπίστευκε. | λοιπὸν οὖν, ὦ βασιλεῦ, καὶ αὐτὸς ἐπίγνωθι τὸ ποικίλον τῶν γυναικείων μηχανημάτων καὶ ὅτι γε ὅπως ἂν καὶ

RETRACTATIO.

ἐλέφαντος συμπατηθῆναι τοῖς ποσὶν αὐτοῦ. ἐξυπνίσασα δὲ πολλῷ τῷ φόβῳ συνεκρατούμην, καὶ αὐτίκα ἀπῆλθον πρὸς ὀνειροκρίτην καὶ τὰ ὁραθέντα διηγησάμην. καὶ ἐκεῖνος εὐθὺς τὸ ὄναρ διέλυσε καὶ παρήγγειλέ μοι εἰπών· πρέπει σε ποιῆσαι ὡς ἐλέφαντος μορφὴν ἐκ μέλιτος ἐζυμωμένην, καὶ τῷ ἀνδρί σου ἀπόδος φαγεῖν, ἵνα τὸ ὄναρ ἀκινδύνως διαλυθείη. καὶ ἰδοὺ κατὰ τοὺς λόγους τοῦ ὀνειροκρίτου, ὡς βλέπεις, τοῦτο πεποίηκα. σὺ δέ, ὦ ἄνερ, λοιπὸν προθυμότατα λάβε καὶ φάγε, ὡς ἂν μηδεὶς ἐμοὶ γενήσεται κίνδυνος. ὁ δὲ ἀνὴρ αὐτίκα τὴν μουστόπιταν ἔφαγε. καὶ οὕτως ἡ γυνὴ τοιαύ-
f. 80 την πρόφασιν ποιησαμένη, τὸ ἀνύποπτον ἑαυτῇ ὅσα ἔπαθε τῷ ἀνδρὶ κατασκευ|άσασα περιεποιήσατο· ὅλα γὰρ ὅσα ἔλεγεν ἡ γυνὴ χωρίς τινος ἀντιλογίας ἐπίστευεν ὁ ἀνήρ. λοιπὸν οὖν, ὦ βασιλεῦ, καὶ αὐτὸς γίνωσκε τὸ ποικίλον τῶν πανουργιῶν τῶν φαύλων καὶ πονηρῶν γυναικῶν καὶ ὅτι γε, εἴ τι ἂν βουληθῶσιν, ἑτοίμως ἔχουσι πονηρεύεσθαι

---

1 φέρων B, ἔχον C 2 δὲ τὰς ὄψεις C 2 sq. διαμηχανᾶται] κρύπτειν ἐκμηχανᾶται C vix vere, quamquam intercidisse aliqua probabile est. cf. Syrum («Die Frau, welche sofort erkannte, dass der Dieb das gethan, ersann eine List und sagte zu ihrem Manne» Bäthgen) 3 ὡς — ταύτῃ] ταύτῃ τῇ νυκτὶ C 3 sq. ἔδοξα κατ' ὄναρ] ὄναρ ἐφάνη μοι ξένον· ἔδοξα γὰρ C 4 ἐπωχεῖσθαι με B, ἐποχεῖσθαι καθ' ὕπνον C ib. ὀλισθήσασάν με τοῖς ποσὶν αὐτοῦ C 5 τῷ φόβω συνηχόμην B, συνειχόμην φόβῳ C 6 τὸ — αὐτῷ] ἔσπευσα πορευθῆναι σὺν τάχει, ᾧ καὶ C 7 ὁ δὲ — ὡς] καὶ ὃς τὸν ὄνειρον διαλύσας ἐνετείλατό μοι οὕτως εἰπὼν C 8 χρῆσαι B, σε χρὴ C ib. ἐκ] ὡς ἐκ C ib. παρασκευᾶσαι B, κατασκευάσαι C 9 ἀποκόμισε B ib. ὡς ἂν ὁ ὄνειρος οὗτος C 9 sq. καὶ νῦν κατὰ ταύτας τὰς C 10 ὑποθήκας] post ὑπο rasura 3 fere litterarum B ib. ἐκείνου om. C ib. πεποίηκα] σοι πεποίηκα μὲν ἐγὼ C 11 προσγένοιτο C 11 sq. καὶ ὃς τὸ μελίπηκτον εὐθὺς ἐδηδόκει C, tum idem: ἡ δὲ γυνὴ τοιούτως πρὸς αὐτὸν προφασισαμένη ἐξ ἀνυπόπτου, τὸν του συνεύνου κίνδυνον ὑπεξέφυγεν, ἑαυτὴν περιποιησαμένη τὰ μάλιστα. ὁ γὰρ ἀνὴρ αὐτῆς πᾶσιν οἷς αὐτῷ περὶ τούτου λελάληκεν ἀναμφιλέκτως πεπίστευκε. τοίνυν, ὦ 15 καὶ ὅ τι περ ἂν καὶ C 16 ἐξυπνήσασα F 18 παρήγγελέν μοι D 23 sq. τὸ ἀνύποπτον ἑαυτῇ, ὅσα ἔπαθε τῷ ἀνδρὶ κατασκεπάσασα, περιεποιήσατο Ebh., sed veri similius metaphrastam ὅσα ἔπαθε pro ἐφ' οἷς ἔπαθε posuisse et τὸ ἀνύποπτον ἑαυτῇ pro τὸ μὴ ὑποπτεύειν ἑαυτὴν accepisse 24 ὅσα om. F ib. ἐπίστευεν ὁ ἀνήρ] ἐπίστευεν ἡ γυνή D

βουληθεῖεν δυνατῶς πονηρεύεσθαι καὶ κατασκευάζειν ἔχουσιν. τούτων πάλιν ὁ Κῦρος ἀκηκοὼς μὴ ἀποκτανθῆναι τὸν υἱὸν αὐτοῦ προσέταξεν.

Κατ' αὐτὴν δὲ τὴν ἕκτην ἡμέραν σφόδρα ἡ γυνὴ ἐπὶ τῷδε τῷ προστάγματι τοῦ βασιλέως δεινοπαθήσασα, καθ' ἑαυτὴν ἔλεγε ὡς· εἰ μὴ τὴν σήμερον τοῦ βασιλέως ὁ υἱὸς ἀποκτανθείη, τῇ αὔριον πάντως τῷ αὐτοῦ πατρὶ προσφθέγξεται καὶ εὐθέως διὰ τῆς ἐκείνου πρὸς τὸν βασιλέα ὁμιλίας τὰ τῆς ἐμῆς σκεωρίας ἐλεγχθήσεται καὶ τῷ θανάτῳ παραδοθήσομαι. χρὴ οὖν λοιπὸν ἐμαυτὴν διαχειρίσασθαι· οὐδαμῶς γάρ τι ἕτερον τῷ βασιλεῖ εἰρηκέναι τολμήσω. ταῦτα ἐν ἑαυτῇ ἡ κακότροπος προσυλλογισαμένη καὶ τῷ φόβῳ δεινῶς ταραττομένη πρῶτα μὲν συνέλεξεν τὰ ὑπάρχοντα αὐτῇ καὶ τοῖς γνωστοῖς καὶ τοῖς γείτοσι διεμέτρησεν, εἶτα αὐτοὺς ἀξιοῖ ὕλην καυστικὴν αὐτῇ συναγαγεῖν. οἱ δὲ αὐτίκα δαψιλῆ συναγείρουσι. κἀκείνη διὰ ταύτης σφοδρὰν ἀνῆψε πυρκαϊάν· ἧς δὴ καὶ

RETRACTATIO.

καὶ κατασκευάζειν ἅπερ θελήσουσι. τούτων πάλιν τῶν λόγων ἀκηκοὼς ὁ Κῦρος προσέταξε μὴ φονευθῆναι τὸν υἱὸν αὐτοῦ.

Κατ' αὐτὴν δὲ τὴν ἕκτην ἡμέραν σφόδρα καὶ μεγάλως ἡ γυνὴ ὡς πολὺ κακὸν παθοῦσα λελύπηται ἐπὶ τῷ τοῦ βασιλέως προστάγματι καὶ καθ' ἑαυτὴν ἔλεγεν ὡς· εἰ μὴ τὴν σήμερον ὁ τοῦ βασιλέως υἱὸς φονευθῇ, τῇ αὔριον πάντως τῷ αὐτοῦ πατρὶ λαλήσει, καὶ εὐθὺς διὰ τῆς πρὸς τὸν πατέρα αὐτοῦ συντυχίας τὰ τῆς ἐμῆς κατασκευῆς πονηρὰ ἔργα φανερωθήσονται καὶ τῷ θανάτῳ παραδοθήσομαι. πρέπει λοιπὸν ἐμαυτὴν αὐτοχείρως φονεῦσαι· οὐδόλως γάρ τι ἄλλον τολμήσω εἰπεῖν τῷ βα|σιλεῖ. p. 81
ταῦτα ἐν ἑαυτῇ ἡ πονηρὰ γυνὴ βουλευσαμένη καὶ τῷ φόβῳ δεινῶς ταραττομένη πρῶτα μὲν συνέλεξε πάντα τὰ πράγματα αὐτῆς καὶ τοῖς συγγενέσι καὶ γείτοσι διεμοίρασεν, εἶτα παρακαλεῖ αὐτοὺς συνάξαι ξύλα ξηρὰ καὶ φρύγανα. οἱ δέ γε συγγενεῖς καὶ γείτονες διὰ συντόμως ἐσώρευσαν τὴν ὕλην καὶ μεγάλην ἀνῆψαν πυρκαϊάν. ταύ-

---

1 δυνατῶς] εὐφυῶς τὸ C ib. συσκευάζειν ἔχουσι C ib. τοῦτον B 1 sq. Τούτων δ' ὁ Κῦρος καὶ πάλιν ἀκηκοὼς τῶν ῥημάτων μὴ C 2 αὐτοῦ προσέταξεν] ἐγκελεύει C 3 Κατὰ δὲ τὴν ἕκτην C 4 χαλεπήνασα καὶ ante δεινοπαθήσασα add. C ib. ἔλεγε ὡσεὶ B, οὕτως ἔλεγεν ὡς· εἰ C 5 ὁ τοῦ βασιλέως υἱὸς C ib. τὴν αὔριον C 5 sq. τῷ — προσφθέγξεται] προσφθέγξεται τῷ ἰδίῳ πατρὶ C 6 ἐκείνου — βασιλέα] αὐτοῦ πρὸς αὐτὸν C 6 sq. σκεγωρίας B σκαιωρίας C 7 ἐλεγχθήσεσθαι B, ἔσται κατάδηλα C ib. τῷ et λοιπὸν om. C 8 διαχειρήσασθαι C ib. εἰρηκέναι] ἀναγγεῖλαι C. «Und wenn ich mir nicht selbst den Tod gebe, so habe ich keine Entschuldigung» Syrus Bäthgeni 9 καθ' ἑαυτὴν ἡ κακότροπος ἐκείνη γυνὴ C ib. προσσυλλογησαμένη B, συλλογισαμένη C, qui ita pergit: καὶ δέει συσχεθεῖσα πολλῷ πρῶτα μὲν τὰ ἑαυτῆς συνελέξατο πράγματα τῆς οὐσίας καί γε τοῖς γνωστοῖς καὶ τοῖς γείτοσιν ἐμερίσατο, εἶτα καὶ ἀξιοῖ 10 γνωστικοῖς et γείτωσι B 11 καυστικὴν — συναγαγεῖν] αὐτοὺς καυστικὴν συναγαγεῖν αὐτῇ C ib. οἱ] ἡ B et post συνάγείρουσα ib. αὐτίκα om. C 12 κἀκείνη confirmat Syrus: «das (Holz) zündete sie an» (Bäthgen) ib. διὰ ταύτοις B, δι' αὐτῆς C ib. ἀνῆψαι πυρκαϊὰν B, ἀνῆψε πυρὰν C ib. καὶ om. C 13 θελήσουσιν F 20 ἄλλο Boiss. 24 διὰ συντόμως DE teste Eberhardo, διὰ τὸ συντόμως F, διὰ συντόμων Boiss., cf. p. 53,25.

ἀναφθείσης ὥρμησεν ἡ γυνὴ τῇ καμίνῳ ἑαυτὴν ἐπεμβαλεῖν, ὅτιπερ ὑφωρᾶτο τῇ ἐπαύριον οὐ μικρὰν τὴν αἰσχύνην καὶ τὸν κατάγελων ἐπισπάσασθαι.

Καὶ ἐπείπερ ἤδη ἡ ἑβδόμη ἡμέρα ἐφίστατο, καθ' ἣν ὁ παῖς τῷ βασιλεῖ προσφθέγξασθαι ἔμελλεν, ὥς γε κατ' ἀρχὰς ὑπὸ τοῦ διδασκάλου παρήγγελτο, διὰ τοῦτο ἡ γυνὴ λίαν ὡς εἰκὸς ἠγωνία καὶ ἐφρόντιζε καὶ μερίμναις καὶ ἀλγηδόσι τὴν καρδίαν ἐβάλλετο. ᾔδει γὰρ ὡς ἡνίκα τῷ βασιλεῖ ὁ παῖς φθέγξηται, οὐ μόνον αὐτὴ καταισχυνθήσεται, ἀλλὰ καὶ ὀλέθρῳ μετὰ τῆς αἰσχύνης παραδοθήσεται ἐφ' οἷς πάντως τῷ παιδίῳ ἀτόπως λελάληκε. τοῦ γοῦν τοιούτου τῆς γυναικὸς χαλεποῦ βουλεύματος πολλαχοῦ γε τῇ φήμῃ θρυλλουμένου καὶ διαθέοντος ἔφθασεν καὶ εἰς τὰς τοῦ βασιλέως ἀκοάς. καὶ δὴ τὸ τάχος τὴν γυναῖκα προφθάνει καὶ φησὶν αὐτῇ· τίνος χάριν, ὦ γύναι, πυρὶ σεαυτὴν παραδίδως; ἡ δέ, μὴ ὡς ἔδει με ἀπὸ τοῦ παιδός σου, ἔφη, ἐξεδίκησας οὔτε αὐτὸν καθὰ προσῆκεν ἀπέκτεινας. ὁ δὲ βασιλεὺς ἅμα τῷ λόγῳ πίστεις αὐτῇ ἐνόρκους καὶ ἀσφαλεῖς

RETRACTATIO.

της δὲ καιομένης ὥρμησεν ἡ γυνὴ ἑαυτὴν ἐμβαλεῖν τῇ καμίνῳ, ὅτι ὑπόπτευε τῇ ἐπαύριον ὃ μέλλει πείσεσθαι.

Καὶ ἐπειδήπερ ἡ ἑβδόμη ἦλθεν ἡμέρα, ἐν ᾗ ὁ παῖς λαλῆσαι τῷ βασιλεῖ ἔμελλε, διὰ τοῦτο ἡ γυνὴ ἠγωνίζετο καὶ πολλαῖς μερίμναις τὴν καρδίαν ἐβάλλετο· ἐγίνωσκε γὰρ ἀκριβῶς ἡ παμπόνηρος ὅτι ὁπότε ὁ παῖς λαλήσει τῷ πατρί, οὐ μόνον ἐντροπὴν λάβῃ, ἀλλὰ καὶ θανάτῳ παραδοθήσεται διὰ τοὺς λόγους οὓς εἶπε πρὸς τὸν παῖδα αἰσχύνης γέμοντας καὶ ἐπιβουλῆς. τοῦ γοῦν τοιούτου παραδόξου τῆς γυναικὸς κακοῦ
p. 82 βουλεύματος εἰς πολλὰ μέρη τοῦ κάστρου λεγομένου καὶ ὑπὸ πολλῶν ἀνθρώπων|βοωμένου φθάνει ποτὲ καὶ εἰς τὰς τοῦ βασιλέως ἀκοάς. καὶ συντόμως διαμηνύσας τὴν γυναῖκα φησὶ πρὸς αὐτήν· διὰ ποίαν ἀφορμήν, ὦ γύναι, παραδίδεις σεαυτὴν τῷ πυρί; ἡ δὲ εἶπεν ὅτι· οὐκ ἤκουσάς μου, μὴ ἐκδικήσας με ἀπὸ τοῦ παιδός σου, καὶ οὐκ ἐφόνευσας αὐτὸν ὡς ἔπρεπεν. καὶ ὁ βασιλεὺς τοῖς λόγοις ὑπαχθεὶς ὅρκους στερεοὺς αὐτῇ

---

1 ἐμβαλεῖν C ib. ἠφορᾶτο B 2 sq. ἐπαύριον κτλ.] ἕωθεν οὐ μετρίαν αὐτὴν ἐπισπάσεσθαι τὴν αἰσχύνην καὶ τὸν κατάγελον (κατάγελον etiam B) C ib. in margine ιε C, in quo deinceps sequuntur ις (p. 64,9), ιζ cet. intervallis non nimis inter se differentibus 3—8 vv. Καὶ ἐπείπερ — λελάληκε etsi post addita esse apparet (nam quae sequuntur: τοῦ γοῦν τοιούτου τῆς γυναικὸς χαλεπου βουλεύματος κτλ. cum 1—2 arte cohaerent), tamen ad alium auctorem ea referenda esse nego, quia ne haec quidem sine syriaco exemplari concepta videntur, in quo verborum ad p. 59,12—60,2 pertinentium haec est sententia: «das (zusammengebrachte Holz) zündete sie an, um sich in das Feuer zu stürzen bevor der siebente Tag vorbeigegangen; (dies alles that sie) aus Furcht, der Knabe möchte sprechen und wegen dessen, was sie ihm gesagt hatte» (Bäthgen) 3 Ἐπεὶ δὲ καὶ ἡ ἑβδόμη ὡς ἐν τοσούτῳ ἡμέρα ἐφέστηκε C ib. ὁ — βασιλεῖ] καὶ ὁ παῖς τῷ βασιλεῖ καὶ πατρὶ C 4 ἤμελλεν C 5 διὰ — γυνὴ] ἡ γυνὴ αὔτη C 6 φθέγξαιτο C 7 αὐτῇ B, αὔτη C, corr. Ebh. 8 πάντως ἐφ' οἷς? ib. ἀτίπως C 8 sq. της γυναικὸς] αὐτῆς C 9 πολλαχῇ C 10 ἔφθασε C ib. post βασιλέως C add. αὐτο (αὐτοῦ corr. Ebh.) ib. δὴ του τάχους τῇ γυναῖκα (α posterius ex ï) B, μὲν (μὴν Ebh.) σὺν τάχει την γυναῖκα C 12 οὔτε τὸν καθᾶ πρὸς ἧκεν ἀπέκτεινας B, οὔτε αὐτὸν ἀπέκτεινας καθάπερ προσῆκεν C 13 πισθεῖς, B (πεισθεὶς videtur legisse metaphrastes) 13 sq. καὶ — δέδωκεν] δέδωκεν ἀσφαλεῖς C 16 ἡμέρα om. Boiss. (cum DE?) 17 ἐβάλετο F 19 post θανάτῳ F addit κακῷ 20 κακοῦ seclusit Ebh., nunc potius παραδόξου suspicioni obnoxium 21 sq. καὶ ὑπὸ πολλῶν ἀνθρώπων βοωμένου om. EF 25 ἔπρε^πε F

δέδωκεν ὡς ἀναμφιλέκτως τὸν παῖδα διαχειρίσεται. ἡ δὲ μιαρὰ παλλακὴ τὸν λόγον ἀποδεξαμένη ἐπέσχεν ἑαυτὴν τοῦ τοιούτου ἐγχειρήματος. καὶ αὐτίκα ὁ βασιλεὺς μετ' ὀργῆς ἀπεφήνατο ἀνυπερθέτως τὸν υἱὸν αὐτοῦ ξίφει ὑποβληθῆναι.

Τῆς οὖν τοιαύτης ἰταμωτάτης ἐξενεχθείσης ἀποφάσεως ὁ τοῦ βασιλέως ἕβδομος φιλοσοφώτατος σύμβουλος περὶ αὐτῆς ἐνωτισάμενος καὶ σὺν αὐτῷ οἱ ἕτεροι ἐξ τούτου συμφιλόσοφοι σφόδρα ἐπὶ τῷ γόνῳ τῆς πορφύρας ἤλγησαν, ὁρῶντες τὸν ἄκακον ὡς κακοῦργον κινδυνεύοντα, καὶ πορευθέντες ἐφίσταντο τῷ τοῦ βασιλέως σπεκουλάτωρι ἤδη τὸ ξίφος πρὸς τὴν | σφαγὴν τοῦ παιδίου B f. 88
ἀνατείνοντι. τούτῳ γοῦν ἐπιστάντες ἐπιμόνως αὐτὸν ἠξίουν ἐπ' ὀλίγον ὑπερθέσθαι τὴν τοῦ παιδὸς ἀναίρεσιν, ἄχρις ἂν ὁ τῶν φιλοσόφων ἕβδομος πρὸς τὸν βασιλέα εἰσέλθῃ ἅμα καὶ ἐξέλθῃ. οὐ μὴν ἀλλὰ καὶ δώροις τὸν ἄνδρα ἐδεξιώσαντο. ὁ δὲ τοὺς φιλοσόφους αἰδεσθεὶς συγκατανεύει τῇ αὐτῶν ἀξιώσει.

Εἶτα ὁ αὐτὸς τῶν φιλοσόφων ἕβδομος σύμβουλος πρὸς τὸν βασιλέα ἐκεῖθεν πορεύεται, καὶ εἰσελθὼν προσεκύνησεν αὐτὸν ἐπὶ τῆς γῆς καὶ φησί· βασιλεῦ, εἰς τὸν αἰῶνα ζῆθι. γινώσκειν σου τὸ κράτος ἐκδυσωπῶ, ὡς ἐξαίσιον ἅμα καὶ ἀνό-

RETRACTATIO.

δέδωκεν ὅτι χωρίς τινος ἀμφιβολίας τὸν υἱὸν φονεύσειεν. ἡ δὲ μιαρὰ παλλακὴ καὶ πόρνη ἀποδεξαμένη τὸν λόγον ἐκράτησεν ἑαυτὴν τοῦ τοιούτου ἐγχειρήματος, τοῦ πυρός. καὶ ὁ βασιλεὺς αὐτίκα δέδωκε τὴν ἀπόφασιν μετ' ὀργῆς φονευθῆναι ἀνυπερθέτως τὸν υἱὸν αὐτοῦ.

Τῆς οὖν ἀναισχύντου καὶ ἀπανθρώπου καὶ ὠμοτάτης καὶ θηριώδους ἀποφάσεως ἐξελθούσης ὁ τοῦ βασιλέως ἕβδομος καὶ φιλοσοφώτατος σύμβουλος ἀκούσας καὶ οἱ λοιποὶ ἕτεροι ἓξ σφόδρα ἠγανάκτησαν ἀνιαθέντες ἐπὶ τῷ τοῦ βασιλέως υἱῷ, ὁρῶντες ἀναίτιον καὶ ὡς κακοῦργον κινδυνεύοντα, καὶ ὁμοῦ ἐφίστανται | τῷ τοῦ βασιλέως σπε- p. 83
κουλάτορι ἤδη τὴν σπάθην πρὸς τὴν σφαγὴν τοῦ παιδὸς ἑτοίμην φέροντι, παρακαλοῦντες ὀλίγον ἀκαρτερῆσαι τὸν τοῦ παιδὸς φόνον, ἕως ἂν ὁ τῶν συμβούλων καὶ φιλοσόφων ἕβδομος πρὸς τὸν βασιλέα εἰσέλθῃ καὶ ἐξέλθῃ. οὐ μόνον δὲ τὸν σπεκουλάτορα παρεκάλουν, ἀλλὰ καὶ δῶρα δεδώκασιν. ὅστις καὶ τοὺς τοιούτους ἐντραπεὶς ἄνδρας ἤκουσε τὴν αὐτῶν παράκλησιν καὶ ἀνέμεινε.

Ὁ δὲ τῶν συμβούλων καὶ φιλοσόφων ἕβδομος πρὸς τὸν βασιλέα ἐλθὼν καὶ κατὰ τὸ ἔθος προσκυνήσας, ζῆθι, ἔφη, ὦ βασιλεῦ, εἰς τὸν αἰῶνα. καὶ φησί· γινώσκειν σου τὸ κράτος παρακαλῶ ὅτι ἐξαίσιον πρᾶγμα καὶ ἔξω φύσεως καὶ ἀδικώτατον δοκιμάζεις

---

1 sq. μιαρὰ παλακὴ τὸν λόγον ἀποδεξαμένη B, ἀποδεξαμένη τὸν λόγον C 2 αὐτὴν B ib. τοῦ τοιοῦδ' C 3 τὸν υἱὸν ὑποβληθῆναι τῷ ξίφει C 4 ἰταμοτάτης BC pr. 5 φιλοσοφώτατος ἕβδομος C ib. περὶ ταύτης C 6 τούτου om. C ib. σφόδρα — ἤλγησαν] ἐπὶ τῷ γόνῳ τῆς πορφύρας σφόδρα λελύπηνται καὶ ἤλγησαν τὰς ψυχὰς C 7 ἄκακον] ἀνεύθυνον C ib. ἐφίστανται C 8 παιδὸς C 9 τούτῳ γοῦν ἐπιστάντες om. C 9 sq. ἠξίουν — παιδὸς] ἀξιοῦντες βραχύ τι τὴν τοῦ παιδὸς ὑπερθέσθαι C 11 εἰσέλθοι ἅμα τε καὶ ἐξέλθοι C 12 τῇ αὐτῶν συγκατανεύει αἰτήσει C 13 αὐτὸς om. C, in margine idem: εἰσέλευσις τοῦ ζ^ου φιλοσόφου ὑπὲρ τοῦ παιδός 14 sq. εἰς τὸν αἰῶνα om. C 15 sq. ἀνήσιον B 16 φονεύσει Ebh. ib. παλακὴ F 17 sq. τοῦ πυρός secl. Ebh. 22 ἕτεροι variam lectionem om. EF, secl. Ebh. 23 καὶ prius secl. Ebh. 23 sq. σπεκουλάτωρι Du Cange 29 lemma ἕβδομος φιλόσοφος 31 ἀδικώτητα D «noto compendio, quod extat in F quoque, deceptus» (Ebh.)

σιον δρᾶμα πειρᾶσαι πεποιηκέναι, ὅτιπερ τὸν υἱὸν μαχαίρας ἔργον γενέσθαι προσέταξας ψιλῇ γυναικὸς ὑποθήκῃ οὕτως ἀνεξετάστως συναρπαγείς, καὶ ταῦτα μήπω ἐγνωκὼς κἂν ἀληθῆ σοι κἂν ψευδῆ λελάληκεν. ἤκουσται δέ μοι καὶ τοῦτο, ὡς διὰ πολλῶν εὐχῶν, νηστειῶν τε καὶ εὐποιιῶν θεόθεν τοῦτον τὸν παῖδα σύ τε καὶ ἡ μήτηρ ἐξητήσασθε· καὶ διὰ γυναικὸς ῥῆμα ὀλέθρῳ αὐτὸν παραδίδως; ἀλλ' ὅμως μου τῶν ῥημάτων ἄκουσον. ἀνὴρ γάρ τις ἦν πύθωνος πνεῦμα ἔχων καὶ τοῖς βουλομένοις τὰ μέλλοντα δῆθεν μαντευόμενος καὶ δαψιλῆ ἐντεῦθεν κέρδη ποριζόμενος· οὐ μὴν ἀλλὰ καὶ ἰατρικῆς τέχνης ὑπὸ τῆς μαντείας ἔμπειρος ἐτύγχανεν· ὅθεν καὶ πᾶσι τοῖς παρ' αὐτοῦ περί τινων ἀδήλων πυνθανομένοις ἑτοίμους ἐποιεῖτο τὰς λύσεις. οὕτως οὖν ὁ ἀνὴρ ἐπιστημόνως ἔχων οὐκ ὀλίγον ἑαυτῷ πλοῦτον ἐθησαύρισε. μιᾷ γοῦν τῶν ἡμερῶν τὸ ἐνοικοῦν αὐτῷ μαντικὸν πνεῦμα πρὸς τὸν ἄνδρα εἰρήκει ὡς· ἔγωγε τοῦ λοιποῦ ὑπαναχωρῆσαί σου βούλομαι καὶ οὐκέτι ἕξεις με. πλὴν πρὸ τῆς ἐκδημίας μου λόγους τρεῖς διαστελῶ σοι, καὶ δι' ἑκάστου τούτων ὃ ἂν θεόθεν ἐξαιτήσῃ, αὐτίκα σοι παρασχεθήσεται. καὶ ταῦτα αὐτῷ λέξαν τὸ τοῦ πύθωνος πνεῦμα καὶ τὰς τρεῖς ῥήσεις τῷ ἀνδρὶ δεδή-

RETRACTATIO.

ποιῆσαι, ὅτι σου τὸν υἱὸν μαχαίρας ἔργον γενέσθαι προσέταξας διὰ μικρὰν γυναικὸς ὑπόσχεσιν καὶ ὅρκον οὕτως ἀνεξετάστως κρατηθεὶς καὶ ἀκούσας τῶν λόγων αὐτῆς, καὶ ταῦτα μὴ γινώσκοντός σου κἂν ἀληθῆ κἂν ψευδῆ τὰ λεγόμενα κατ' αὐτοῦ. ἤκουσα
p. 84 δὲ καὶ | τοῦτο, ὡς διὰ πολλῶν εὐχῶν καὶ νηστειῶν, ἔτι γε μὴν καὶ ἐλεημοσυνῶν ἀπὸ θεοῦ ἡ τούτου μήτηρ τὸν παῖδα ἐξαιτήσατο· ὃν γοῦν ὁ θεὸς διπλῶς σοι δέδωκε, κατὰ τὴν φύσιν καὶ τὰς τῆς δεσποίνης ἱκεσίας, διὰ ῥῆμα γυναικὸς ἀνεξέταστον θανάτῳ αὐτὸν παραδίδως; ἀλλ' ὅμως μου ἱκετεύω ἀκοῦσαί μου τῶν ῥημάτων τουτωνί. ἀνήρ τις δαιμόνιον εἶχε, μαντευόμενος καὶ λέγων ὅσα ἐρωτοῦσαν αὐτὸν οἱ ἄνθρωποι· ὅστις δαίμων ἐκαλεῖτο πνεῦμα πύθωνος. τάχα δὲ λέγων οὗτος ὁ ἄνθρωπος ἐκ τοῦ δαίμονος συνῆγε κέρδη πολλά. οὐ μόνον δὲ προέλεγεν, ἀλλ' ὑπὸ τῆς μαντείας καὶ ἰατρικὴν ἐγνώριζε. λοιπὸν εἴ τις ἄνθρωπος ἠρώτα αὐτὸν περὶ ἀφανῶν πραγμάτων, τὰς ἀπολογίας ἑτοίμως ἀπέδιδε. οὗτος οὖν ὁ ἀνὴρ ἀπὸ τῆς τοιαύτης μεταχειρίσεως ἐπεσώρευε χρήματα πολλά. μιᾷ γοῦν τῶν ἡμερῶν τὸ κατοικοῦν ἐν τῷ ἀνθρώπῳ
p. 85 πνεῦμα εἶπεν ὡς· ἐγὼ ἀπὸ τοῦ νῦν ἀπέρχομαι ἀπὸ σοῦ, καὶ πλέον οὐκ ἔχεις με. | πλὴν πρὸ τοῦ ἐξελθεῖν με ἀπὸ σοῦ λόγους τρεῖς παραγγέλλω σοι, καὶ οἷον ἂν τῶν τριῶν

---

1 πειρᾶσαι ποιήσασθαι C ib. γενήσεσθαι B 2 ἐξετάστως B 5 σὺ καὶ ἡ μήτηρ B. in syriaco matris mentio nulla ib. ἐξητήσασθε (α superscr.) C, ἐξητήσασθαι B 6 πύθωνος πνεῦμα] cf Act. Ap. 16,16, ubi nunc ex melioribus libris legitur: παιδίσκην τινὰ ἔχουσαν πνεῦμα πύθωνα 7 δῆθεν] δὴ C 7 sq. ἐντεῦθεν — ποριζόμενος] ποριζόμενος κέρδη C 8 sq. ὑπὸ — ἐτύγχανεν] τῇ μαντείᾳ ἔμπειρος ἦν C 9 πυνθανομένοις περί τινων ἀδήλων C 10 τὰς ἀπολύσεις C 11 ἑαυτῷ B, αὐτῷ C 12 ὡς om. C ib. σου om. B 13 ἔξεις B 14 καὶ δὴ μὲν (ἐν ci. Ebh.) ἑκάστῳ C ib. αἰτήσῃ, παραχρῆμά σοι C 15 αὐτῷ — τὰς] λέξαν τὸ πνεῦμα τὰς C ib. τῷ ἀνδρὶ] τἀνδρὶ C 17 sq. καὶ ταύτῃ D 19 εὐχῶν om. D 22 pro μου priore νῦν Ebh. 23 lemma διήγησις τοῦ ἑβδόμου φιλοσόφου καὶ τελευταίου (ἡ τελευταία D, om. καὶ τελ. F) 27 οὕτως? 30 σοι] σου F ib. ante τῶν τριῶν Ebh. ins. διὰ

λωκεν, εἶτα καὶ πόρρω αὐτοῦ παντελῶς ἐγεγόνει. ὁ δὲ τοῦ μαντικοῦ πνεύματος ἐξ αὐτοῦ ἀνακεχωρηκότος σὺν ἀθυμίᾳ πολλῇ οἴκαδε ἀφίκετο. θεασαμένη δὲ αὐτὸν ἡ τούτου σύζυγος, τί οὕτως, ἔφη, στυγνὸς καὶ ὠχριῶν γέγονας; ὁ δὲ αὐτῇ ἀπεκρίνατο· ὅτιπερ, ὦ γύναι, τὸ τοῦ πύθωνος ἐκεῖνο πνεῦμα, ὃ δὴ ἐγκατῴκει μοι, δι' οὗ ἐμαντευόμην καὶ αὐτὰς δὴ τὰς νόσους ἐθεράπευον, νῦν ἀπ' ἐμοῦ ἐξελθὸν τέλεον ὑπανεχώρησεν, καὶ τούτου ἐρημωθεὶς αὐτὴν, γίνωσκε, τὴν ζωήν μου ἀπολέγομαι· ὑπ' αὐτοῦ γὰρ ἅπαντα τὰ ἀπόρρητα ἐδιδασκόμην καὶ δαψιλῆ διὰ τούτου κέρδη ἐποριζόμην. ἡ δὲ γυνὴ τὰ τοιαῦτα ῥήματα παρὰ τοῦ ἀνδρὸς ἀκούσασα σφόδρα κἀκείνη ἐπὶ τῷ συμβάντι ἤλγησεν. ὁρῶν δὲ αὐτὴν πικρῶς ἀνιωμένην παρηγορεῖν ὡς ἐνὸν τῇ γυναικὶ ἐπεχείρησε, καὶ πρὸς αὐτὴν αὖθις εἴρηκεν· θάρσει, ὦ γύναι, καὶ μὴ λυποῦ· τὸ γὰρ πνεῦμα ἐκεῖνο τρεῖς ῥήσεις μοι διεστείλατο, ὥστε δι' ἑκάστου τῶν τριῶν πᾶν εἴ τι θυμῆρές μοι | θεόθεν ἐξαιτήσασθαι, B f.89 καὶ δεδήλωκέν μοι ὡς εἴ τι δ᾽ἂν καὶ αἰτήσωμαι, εὐθέως μοι προσγενήσεται. τούτοις τοῖς λόγοις ἡ γυνὴ ἐπὶ τὸ εὐθυμότερον μετενεχθεῖσα, αὐτάρκη σοι τὸ λοιπόν, τῷ ἀνδρὶ ἀντέφησεν, ἐκεῖνα δὴ ἔστωσαν τὰ τρία ῥησείδια. ὁ δὲ ἀνὴρ αὖθις τῇ ὁμοζύγῳ λέγει· τί οὖν συμβουλεύεις μοι ἐκ θεοῦ αἰτήσασθαι; ἡ δὲ γυνὴ ἐκείνη

RETRACTATIO.

λόγων ζητήσεις παρὰ θεοῦ, εὐθὺς δοθήσεται. ταῦτα εἰπὼν ὁ δαίμων τῷ ἀνδρὶ ἐφανέρωσε καὶ τοὺς τρεῖς λόγους, εἶτα μακρὰν διέβη τοῦ ἀνδρός. καὶ ὁ ἄνθρωπος τοῦ μαντικοῦ δαίμονος ἀπ' αὐτοῦ ἐξελθόντος μετὰ λύπης ἦλθεν καὶ εἰς τὴν οἰκίαν αὐτοῦ εἰσέδυ. ἰδοῦσα δὲ αὐτὸν ἡ γυνή, τί οὕτως, ἔφησε, σκυθρωπὸς καὶ ὠχρότατος γέγοναςι καὶ ὁ ἀνὴρ ἀπεκρίνατο· ὦ γύναι, τὸ τοῦ πύθωνος ἐκεῖνο πνεῦμα, δι' οὗ ἐμαντευόμην καὶ τὰς ἰατρείας ἐποίουν, ἐξῆλθεν ἀπ' ἐμοῦ τελείως· καὶ διὰ τοῦτο πῶς δύναμαι ζῆν; παρ' ἐκείνου γὰρ τοὺς λόγους ἐδιδασκόμην καὶ προέλεγον καὶ εἶχον τὰ κέρδη. ἡ δὲ γυνὴ τῶν λόγων ἀκούσασα κἀκείνη ἐλυπήθη. ὁρῶν δὲ αὐτὴν ὁ ἀνὴρ πικρῶς κλαίουσαν ἐπεχείρει παραμυθεῖσθαι αὐτὴν καὶ λέγει πρὸς αὐτήν· μὴ λυποῦ, ὦ γύναι· τὸ γὰρ πνεῦμα ἐκεῖνο τρεῖς λόγους με παρήγγειλε, ὥστε δι' ἐκεί|νων τῶν τριῶν λόγων ὅπερ ἂν p. 86 ἀπὸ τοῦ θεοῦ ζητήσω, ἕξω ἀπὸ τοῦ θεοῦ, καὶ ἐφανέρωσέ μοι ὅτι ἅμα τοῦ ζητῆσα ἐμὲ γενήσεται. τούτοις τοῖς λόγοις ἡ γυνὴ καλοκαρδίσασα, ὦ ἄνερ, ἀρκετά σοι, ἔφη, τὰ τρία λόγια εἰς τὸ ἔμπροσθεν. ὁ δὲ ἀνὴρ πάλιν λέγει· τί οὖν συμβουλεύεις μοι αἰτήσασθαι ἐκ θεοῦ; ἡ δὲ γυνὴ πονηροτάτη ὑπάρχουσα καὶ πρὸς ἀπρεπεῖς ὀρέξεις καὶ παρα-

---

1 sq. καὶ — ἀνακεχωρηκότος] πόρρω μὲν αὐτὸ γέγονεν, ὁ δ' ἀνὴρ ἐκεῖνος ἀνακεχωρηκότος τοῦ πνεύματος οἴκαδε C   2 οἴκάδε ἀφίκετο B, ἀφῖκτο C, tum idem: καὶ τοῦτον ἡ σύζυγος οὕτως ἔχοντα θεασαμένη   3 ἔφησε C   ib. παραγέγονας C   4 ἐνεκατῴκει C   5 αὐτὰς δὴ om. C   6 τέλαιον B, τελέως C   ib. ἀνεχώρησεν C   ib. γίνωσκε] ἴσθι C   7 ἅπαν ἀπόρρητον ἐμυούμην C   7 sq. διὰ τούτου om. C   8 τὰ τ. ῥ.] ταῦτα C   9 τὸ συμβὰν C   9 sq. ταύτην ἐκεῖνος ἀνιωμένην πικρότερον C   10 τὴν γυναῖκα C   ib. καὶ εἴρηκε πρὸς αὐτὴν C   11 sq. ῥήσεις μοι διεστείλατο τρεῖς C   12 τῶν τριῶν] αὐτῶν C   ib. θυμήρεις B   ib. μοι post θεόθεν iteratum B   13 δεδήλωκέ μοι C   ib. δ'ἂν BC   ib. αἰτήσομαι B   ib. εὐθέως μ. πρ.] θεόθεν γενέσθαι μοι C   14 ἡ γυνὴ — μετενεχθεῖσα] ἐπὶ τὸ εὐθυμότερον ἡ γυνὴ γενομένη C   15 τῷ ἀνδρὶ — ἔστωσαν] ἔφησε τῷ ἀνδρί, ταῦτα C   15 sq. ὁ δ' ἀνὴρ πρὸς τὴν σύζυγον αὖθις ἀντέφησε C   16 συμβουλεύεις — θεοῦ] πρὸς θεοῦ συμβουλεύεις μοι ἤδη C   ib. γυνὴ ἐκείνη om. C   17 ζητήσῃς Boiss.   ib. σοι post εὐθύς inserebat Ebh.   19 ἀπῆλθεν? Ebh.   26 με^{οι} F alia ut videbatur Eberhardo manu correctus   ib. παρή^{γγλ} F

λίαν οὖσα πονηροτάτη καὶ πρὸς ἀτάκτους ὁρμὰς καὶ παραλόγους ὀρέξεις ἐνδόσιμός τε καὶ φιλοσώματος, οἶδας, φησί, ὦ ἄνερ, καθὰ καὶ αὐτὴ ἐπίσταμαι, ὡς οὐδὲν συνουσίας τοῖς ἀνθρώποις προσφιλέστερον· αἴτησαι τὸ θεῖον πολλοὺς τῷ σώματί σου ἰθυφάλλους ἐπιφυῆναι. ὁ δέ γε ματαιόφρων ἐκεῖνος τὴν τοιαύτην αὐτίκα δέησιν προέθετο καὶ ἅμα τὸ τούτου σῶμα ἰθυφάλλοις κατάκομον γέγονεν. οὓς ἑωρακὼς ὁ δείλαιος ἑαυτὸν πικρῶς ἐμυσάττετο καὶ τὴν γυναῖκα θρασέως πλήττει καὶ καθυβρίζει, καὶ τοσοῦτον τῷ θυμῷ κατ' ἐκείνης ἀγριαίνεται, ὡς καὶ ἀνελεῖν αὐτὴν ἀνηλεῶς βουλεύεσθαι. καὶ ἔλεγε πρὸς αὐτήν· αὕτη ἐστὶν ἡ ἐπωφελής σου συμβουλία, ὦ κατάρατε; οὐκ ᾐδέσθης τοιαύτης μοι ἀσχημοσύνης βουλὴν πονηρὰν ὑποθέσθαι; ἡ δὲ πρὸς αὐτὸν ἀντέφησεν· τί τοσοῦτον ἐχαλέπηνας; μηδὲν διαταραχθῇς περὶ τούτου τοῦ πράγματος· ἕτεροι γὰρ δύο ὑπελείφθησαν λόγοι. αἴτησαι τοίνυν τὸ θεῖον διὰ τοῦ ἑνὸς ῥήματος τοὺς ἰθυφάλλους τούσδε ἀπὸ σοῦ ἀφανισθῆναι. ὁ δὲ τῇ συζύγῳ πεισθεὶς αἰτεῖται τοῦτο παρὰ θεοῦ, καὶ εὐθὺς ἐκείνων μὲν ἀπηλλάγη τῶν ἰθυφάλλων, ἀπώλεσε δὲ τῇ τοιαύτῃ αἰτίᾳ καὶ ὅπερ δὴ γεννητὸν αἰδοῖον ἐκέκτητο. αὖθις οὖν ἐπὶ πλέον τῆς γυναικὸς καταθρασύνεται καὶ αὐτὴν ἀποκτεῖναι ἐκ παντὸς τρόπου πειρᾶται. ἡ δὲ γυνή, ἵνα τί,

RETRACTATIO.

λόγους δεδουλωμένη καὶ τὴν συνουσίαν ἀγαπῶσα φησί· οἶδα, ὦ ἄνερ, ὡς καὶ σὺ τοῦτο γνωρίζεις· οὐδὲν ἄλλο ἀγαπιτηκότερον εἰς τοὺς ἀνθρώπους ἐστὶ ἢ μόνον τὸ κοιμᾶσθαι ἄνδρα μετὰ γυναικός· ζήτησον οὖν τὸν θεὸν πολλοὺς ὄρχεις γενέσθαι ἐν τῷ σώματί σου. ὁ δὲ ἄφρων ἐκεῖνος ἀνὴρ τὴν τοιαύτην ἅμα δέησιν ἐποιεῖτο καὶ ἅμα τῇ εὐχῇ αὐτοῦ ὅλον τὸ σῶμα γέγονε μεστὸν καὶ νεφρῶν καὶ ὀρχέων. ἅπερ ἰδὼν ὁ ἄθλιος ἑαυτὸν ἐβδελύττετο καὶ τὴν γυναῖκα ἰσχυρῶς τύπτει καὶ καθυβρίζει, καὶ τοσοῦτον
p. 87 ἠγριώθη | κατ' ἐκείνης, ὡς βουληθῆναι καὶ αὐτὴν ἀποκτεῖναι, λέγων πρὸς αὐτήν· αὕτη σου ἐστὶν ἡ καλὴ συμβουλή, ὦ κατάρατον γύναιον, ἡ φέρουσα ἡμῖν κέρδος; οὐκ ἐνετράπης αὐτὴν τὴν πονηρὰν βουλὴν καὶ αἰσχύνης γέμουσαν βουλεύσασθαί με; ἡ δὲ πρὸς αὐτὸν ἀντέφησε· τί τοσοῦτον ὀργίζεσαι, ἄνθρωπε; μηδὲν ταραχθῇς ἢ λυπηθῇς περὶ τούτου· ἕτεροι γὰρ δύο λόγοι ἀπεμείνασι, καὶ παρακάλεσον τὸν θεὸν διὰ τοῦ ἑνὸς ῥήματος τοὺς ἰθυφάλλους τούσδε ἀπὸ σοῦ διαβῆναι. καὶ ἅμα τῇ συζύγῳ πεισθεὶς αἰτεῖται παρὰ θεοῦ καὶ ἐλευθερώθη τῶν ὀρχέων, ἔχασε δὲ μετὰ τούτων καὶ ἅπερ εἶχεν ἀπὸ γενέσεως. εὐθὺς οὖν ὁ ἀνὴρ πάλιν ἀπὸ τῆς λύπης ἐπὶ πλέον κατὰ τῆς γυναικὸς ἀγριοῦται καὶ δοκιμὴν ποιεῖται τοῦ θανατῶσαι αὐτήν. ἡ δὲ φησί· διὰ τί ὁρμᾷς

---

1 sq. ἐνδώσιμος B 2 οἶδα B ib. φησὶν C 4 γε om. C 5 sq. το ἑαυτοῦ σῶμα γέγονε κατάκομον (om. ἰθυφάλλοις) C 5 ἰθυφάλοις et 12 ἰθυφάλους B 7 καθ' ὑβρίζει (om. καὶ) B ib. κατ' αὐτῆς ἠγριαίνετο C 8 ἀνΐλεως B ib. βεβουλεῦσθαι (βεβουλῆσθαι? Ebh.). καὶ ἔλεγεν αὐτῇ C. praestat βουληθῆναι (cum metaphr.) sive βούλεσθαι 8 sq. ἐπωφελῆ B • 9 μοι om. B ib. ις in marg. C 10 ἀντέφησε C 11 μηδὲν διαταραχθεὶς περὶ τούτου τοῦ πράγματος· B, μηδέν σοι ἔσται περὶ τούτου φροντίς· περὶ τούτου μὴ διαταραχθήσῃ· C ib. γὰρ] γάρ σοι C 13 ἀπό σου ἀποφανθῆναι B, ἀφανισθῆναι ἀπὸ σοῦ C 14 ἐκείνω B ib. ἀπόλεσαι δὲ τῇ τοιαύτῃ αἰτία B, ἀπώλεσε δὲ σὺν αὐτοῖς C 15 ὅπερ — αἰδοῖον] ἃ δὴ γεννητὰ αἰδοῖα C 16 ἐκ παντὸς τρόπου ἀποκτεῖναι ordine inverso C ib. ἵνα in margine B 17 τὴν οὐσίαν F 18 ἀλλ' D ib. ἀγαπητικώτερον corr. Boiss. 21 et 29 ὄρχεων corr. Boiss. 27 ἀπέμεινάν σοι Ebh. perperam 28 ἰθυφάλους F 29 ἠλευθερώθη F ib. ἐχάσε F ib. ἅσπερ Ebh.

φησίν, ἀνελεῖν με σφαδάζεις; μηδ᾽ ἐπὶ τούτῳ τῷ συμβάντι ἀσχάλλου· ἓν γάρ σοι ῥῆμα ὑπολέλειπται· λοιπὸν αἴτησαι τὸ θεῖον τὰ γεννητά σου ἀπολαβεῖν αἰδοῖα. ὁ δὲ τοῦτο ποιήσας μόλις τοῦ αἰτηθέντος ἐπέτυχεν. ἴδε οὖν, ὦ βασιλεῦ, οἷα ἐκείνῳ τῷ ἀνδρὶ συμβέβηκεν, ὅτιπερ ἀσυλλογίστως τῇ τῆς γυναικὸς πονηρᾷ βουλῇ ὁ μάταιος συγκατέθετο. καὶ νῦν λοιπὸν μακροθύμησον, παρακαλῶ, καὶ μὴ κατεπείγου πρὸς τὴν ἄδικον τοῦ υἱοῦ σου ἀναίρεσιν μηδὲ οὕτως ἀνεξετάστως συναρπαγῇς τῇ τῆς γυναικὸς τῆς μοχθηρᾶς σκεωρίᾳ, καὶ μᾶλλον ὅταν ἡ διαβάλλουσα δεινὴ λίαν καὶ κακότροπος ᾖ. καὶ ἄλλης δέ μου διηγήσεως ἄκουσον.

Ἀνὴρ γάρ τις ἦν, ὃς ἔνορκον ἑαυτῷ ὅρον ἔθετο μὴ ὅλως ἠρεμῆσαι ἢ αὐτῷ δοῦναι ἄνεσιν μήτε μὴν ἀγαγέσθαι γυναῖκα, ἕως ἂν πᾶσι τοῖς τῶν γυναικῶν ἐπισταίη μηχανήμασι. καὶ εὐθὺς τῆς πατρίδος ἐξελθὼν περιήρχετο τὰς χώρας πληρώσων τὸ σπουδαζόμενον. ἕτερος δέ τις αὐτὸν κατὰ τὴν ὁδοιπορίαν συνήντησεν, καὶ μαθὼν παρ᾽ αὐτοῦ τὴν κατεπείγουσαν χρείαν ἔφη τῷ ἀνδρί· οὐ δυνήσῃ, ὦ ἄνθρωπε, τοὺς τῶν γυναικῶν τρόπους κατανοῆσαι οὐδὲ τὸ πέρας αὐτῶν | ἐφευρεῖν, ἕως ἂν σποδιὰν ἀγαγὼν καί τινα τόπον δι᾽ αὐτῆς καταπάσας τεσσα- B f. 90

RETRACTATIO.

θανατῶσαί με; μηδὲ γὰρ ἐπὶ τῷ γενομένῳ νῦν λυποῦ· εἷς γὰρ ἔτι λόγος σοι ἀπέμεινε· καὶ ζήτησον τὸν θεὸν τοὺς ἀπὸ γεννήσεώς σου ὄρχεις λαβεῖν. ὁ δὲ τοῦτο ζητήσας μόλις ἔτυχε τοῦ ζητήματος. | βλέπε οὖν, ὦ βασιλεῦ, ὁποῖα ἔργα τῷ ἀνδρὶ ἐκείνῳ συμβέ- p. 88
βηκε, διότι ἀσυλλογίστως τῇ πονηρᾷ βουλῇ τῆς γυναικὸς ὁ μάταιος ἐπίστευε. καὶ νῦν λοιπὸν μακροθύμησον, παρακαλῶ, καὶ μὴ σπούδαζε πρὸς τὸν ἄδικον τοῦ υἱοῦ σου φόνον, μηδὲ συναρπαγῇς τῇ τῆς γυναικὸς πονηρᾷ καὶ ἀναισχύντῳ συμβουλῇ· μᾶλλον γὰρ ὅταν ὑπάρχῃ ἡ διαβάλλουσα γυνὴ καταπολὺ κακότροπος καὶ πρὸς φόνον ἐρεθίζουσα, φαίνεται ὅτι οὐ διὰ δίκαιόν τι συμβουλεύει καὶ ἐπαινετὸν, ἀλλὰ δι᾽ ὄρεξιν καὶ μανίαν. καὶ διὰ τοῦτο οὐδαμῶς οὐδαμῇ πρέπει πιστεύειν αὐτήν. ὅμως καὶ ἄλλης διηγήσεώς μου ἀκοῦσαι παρακαλῶ.

Ἀνήρ τις ὑπῆρχεν, ὃς ὤμοσεν εἰς ἑαυτὸν τοῦ μὴ καθίσαι εἰς ἕνα τόπον ἢ εἰς παραδιαβασμοὺς ὡς νέος περιπατῆσαι μηδὲ γυναῖκα λαβεῖν, ἕως ὅτου νὰ μάθῃ τὰς πονηρίας ὅλας καὶ τὰ τεχνάσματα τῶν κακῶν γυναικῶν. καὶ τὸν λογισμὸν τοῦτον ἔχων ἐν ἑαυτῷ ἐξῆλθε τῆς ἰδίας πατρίδος καὶ περιεπάτει | κατὰ πόλιν καὶ χώραν, p. 89
μαθεῖν σπουδάζων ἅπερ ἠβούλετο. ἄλλος δέ τις ἄνθρωπος ἐν τῇ ὁδοιπορίᾳ συναντή-

---

1 τοῦτω τῷ συμβάντι B, τῷδε C ib. ἀσχαλησον habere videtur B 2 λοιπὸν αἴτησαι] αἴτησαι γοῦν C ib. γεννητᾶ σου ἀπολαβεῖς B 3 μόγις C 4 τἀνδρὶ B ib. ἀσυλογίστως B ib. πονηρὰ B, χακίστη C 5 παρακαλλῶ B, ἀξιῶ C ib. μὴ om. B 6 sq. συναρπαγεὶς B 7 γυναικὸς — σκεωρίᾳ] μοχθηρᾶς γυναικὸς σκαιωρίᾳ C 8 καὶ κακότροπος εἴη B, ἢ καὶ κακότροπος C ib. καὶ ἄλλης δέ μου] ἀλλὰ καὶ ἄλλης C 9 Ἀνήρ τις (om. γάρ) C ib. αὐτῷ] ἑαυτῷ C 11 ἐξιὼν περιήει C 12 αὐτῷ C 12 sq. συνήντισεν B, συνήντηχεν C 13 καὶ] ὃς καὶ C ib. πρὸς αὐτοῦ C ib. ἔφη] φησὶ C 13 sq. δυνήσῃ, ὦ] συνήσει B 14 τρόπ. καταν.] καταν. τρόπ. C 15 κατὰπάσας B, καταπάσσας C 16 μηδὲ F, μηδὲν (E) Boiss. 19 ἀσυλογίστως F 20 σπουδάζῃς F 22 ὑπάρ with χ above F, ὑπάρχει D 24 διατοῦτο F ut saepe 26 lemma διήγησις τοῦ αὐτοῦ ἑβδόμου φιλοσόφου 27 να F

ράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας ἐπ' αὐτῆς διατελέσῃς καθήμενος καὶ μετρίας τροφῆς καὶ πόσεως μεταλαμβάνων· καὶ εἰθούτως δυνήσῃ ἀπαριθμῆσαι καὶ σημήνασθαι τὰς τῶν γυναικῶν πανουργίας. ὁ δὲ τούτων τῶν ῥημάτων ἀκούσας παρὰ τοῦ αὐτῷ συναντήσαντος ἐποίησε καθὼς ἐκεῖνος αὐτῷ ἐνετείλατο, καὶ διετέλει ἐπὶ σποδιᾶς καθήμενος καὶ εὐτελεῖ τῇ διαίτῃ χρώμενος καὶ παρ' ὅλας τὰς τεσσαράκοντα ἡμέρας καὶ τὰς τεσσαράκοντα νύκτας ἀπογραφόμενος τὰς τῶν γυναικῶν μηχανουργίας. ἃς δὴ καὶ περαιώσασθαι ἐδόκει ἐσύστερον καὶ μηδὲν τούτων καταλιπεῖν ἄγραφον. λαβὼν οὖν ἃς πεποιήκει ἀπογραφὰς πρὸς τὴν ἑαυτοῦ οἰκίαν ἐπανήρχετο· πορευόμενος δὲ ἐπί τι χωρίον παρεγένετο, ἐν ᾧ καὶ κατέλυσεν. ἦν δέ τις ἐν τῷ χωρίῳ ἐκείνῳ, ὃς καὶ παρασκευασάμενος ἑστίασίν τινα τοὺς τοῦ χωρίου οἰκήτορας κέκληκεν, μεθ' ὧν κἀκεῖνον τὸν ἀπογραφέα εἰς δεξίωσιν μετεκαλέσατο. ὁ δὲ ἐλθὼν καὶ ἀναπεσὼν μετὰ τῶν ἄλλων δαιτυμόνων οὐ παρομοίως ἐκείνοις ἐκ τῶν παρατιθεμένων ἤσθιεν, ἀλλ' ἄσιτος ἐκαθέζετο. φησὶ οὖν πρὸς αὐτὸν ὁ ἑστιάτωρ· πόθεν καὶ τίς εἶ, ὦ ἑταῖρε; ὁ δὲ

RETRACTATIO.

σας ἠρώτησεν αὐτόν· καὶ ὡς ἤκουσεν αὐτὸν ὅτι διὰ τῶν πονηριῶν τῶν γυναικῶν περιπατεῖ, μαθεῖν βουλόμενος τὰς πονηρίας, ὦ ἄνθρωπε, μάτην κοπιᾷς, φησίν· οὐ γὰρ δυνήσῃ τὰς τῶν γυναικῶν γνώμας καὶ πονηρίας εὑρεῖν ἢ μαθεῖν. εἰ δὲ θέλεις μαθεῖν ὀλίγα τινὰ ὡς ἀμετρήτων οὐσῶν, εὗρε τόπον τινὰ μοναξὸν καὶ σύναξε στάκτην ἢ κονιορτὸν τῆς γῆς πολὺν καὶ κάθισον ἐπάνω αὐτοῦ τεσσαράκοντα ἡμέρας καὶ νύκτας ὁμοίας, ἐσθίων καὶ πίνων ὀλίγον· καὶ τότε θέλεις δυνηθεῖν εὑρεῖν τὰς πανουργίας τῶν γυναικῶν. ὁ δὲ νέος τῶν λόγων τούτων ἀκούσας ἐποίησε καθὼς ἐκεῖνος ἐδίδαξε, καὶ ἦν καθήμενος ἐπὶ σποδοῦ τρώγων ὀλίγα· καὶ ἐφ' ὅλαις τεσσαράκοντα ἡμέραις καὶ τεσσαράκοντα νύκταις ἀπεγράφετο τὰς τῶν γυναικῶν πανουργίας. καὶ ὡς ἐτελέσθησαν
p. 90 αἱ ἡμέραι καὶ νύκται, | ὡς ὕστερον ἐφάνη αὐτῷ ὅτι οὐδεμίαν πονηρίαν τῶν γυναικῶν ἀφῆκεν ἄγραφον, ἔλαβε τὰς πονηρίας ἃς ἔγραψε καὶ ἐστράφη εἰς τὸ ὀσπήτιον αὐτοῦ. καὶ ἐπανερχόμενος εὑρὼν χωρίον ἔμεινε ἐκεῖ ἀναπαυθῆναι μικρόν. ἐν τῷ χωρίῳ γοῦν ἐποίησέ τις τραπέζιν μέγα καὶ ἐκάλεσε πολλούς, μετὰ πάντων δὲ ἐκάλεσε καὶ τὸν ξένον. ὃς καὶ ἐλθὼν ἐκαθέσθη μετὰ τῶν λοιπῶν, μὴ ἐσθίων ὁμοίως ἐκείνοις τὰ ἐν τῇ τραπέζῃ. ὅτε καὶ λέγει πρὸς αὐτὸν ὁ ἔχων τὴν τράπεζαν· πόθεν εἶσαι καὶ τίς εἶσαι,

---

2 καὶ εἰθούτως B, οὕτω γὰρ C 3 ἠμήνασθαι B ib. τῶν ῥημάτων τούτων C 4 συναντείσαντος B ib. ἐκεῖνος] αὐτὸς C, οὗτος Ebh. 5 εὐτελῆ B 6 τὰς posterius om. C 7 περαιωθῆναι C 8 καταλιπὼν B ib. ἐπεποιήκει C 9 ἐπανήει C ib. δὲ om. C 10 ἐν τῷ χωρίῳ ἐκείνῳ] ἀνὴρ ἐν τῷδε τῷ χωρίῳ C 11 κέκληκε C 13 οὐ παρ' ὅμοιως ἐκείνοις ἐκ B, οὐχ ὁμοίως αὐτοῖς C 14 λέγει οὖν ὁ ἑστιάτωρ αὐτῷ C 15 ἠρώτισεν F ib. αὐτὸν om. F, αὐτοῦ Ebh. 18 οὐσῶν] αὐτῶν D, αὐτῶν οὐσῶν Boiss. ib. εὗρε τόπον τινα μοναξόν, καὶ σύναξε στάκτιν, και κονιορτὸν τῆς γῆς πολὺν citat Ducange s. v. στάκτη 20 ὁμοίως (DE) Boiss. ib. «forsan δυνηθῆν» Boiss. 24 αἱ ἡμέραι καὶ αἱ νύκται citat Ducange s. v. νύκτα
25 ὀσπήτιον EF teste Eberhardo. quid D habeat, ambiguum est, cum Boiss. legat ὀσπίτιον, Ebh. ὀσπήτιον 26 ἔμεινεν F 28 ἐλθὼν] ἦλθε D 29 ἦσαι utrobique D

ἀπεκρίνατο· ὁδίτης εἰμί, ὡς ὁρᾷς, καὶ ἐκ μακρᾶς παραγίνομαι χώρας. καὶ γὰρ τῆς ἐνεγκαμένης ἐξῆλθον τοῦ σοφίαν ἐκμαθεῖν καὶ τὰ τῶν πονηρῶν γυναικῶν κατανοῆσαι μηχανήματα. ταῦτα ἐκείνου εἰρηκότος φησὶν ὁ ἑστιάτωρ πρὸς τὴν ἑαυτοῦ σύζυγον ὡς· ὁ ἀνὴρ οὗτος ξένος τούτου πέφυκε χωρίου καὶ οὐδὲν ὅλως ἔφαγεν, ἐξελθὼν δὲ τῆς ἰδίας πατρίδος καὶ περιελθὼν τὰς χώρας ὅλας τῶν γυναικῶν πάσας ἐκμεμάθηκε μηχανουργίας καὶ ταύτας γραφῇ παραδέδωκεν· ἀλλ' ἀναστᾶσα, γύναι, παρασκεύασον αὐτῷ τὰ πρὸς βρῶσιν αὐτοῦ καὶ πόσιν ἁρμόζοντα, ὡς ἂν παρ' ἡμῶν δεόντως φιλοφρονηθείη καὶ ἀναπαύσηται. ἡ δὲ γυνὴ ἀναστᾶσα πεποίηκεν καθὼς ὁ ἀνὴρ αὐτῇ διετάξατο. εἶτα τὸν ὁδοιπόρον ἐπηρώτα· τί ἄρα πεποίηκας, ἄνθρωπε; γέγραφας πᾶσαν τὴν τῶν γυναικῶν πονηρίαν; ὁ δέ, ναί, φησί, πάσας αὐτῶν τὰς πανουργίας ἀπεγραψάμην καὶ τοὺς αὐτῶν δόλους καὶ τὰς σκεωρίας διελαβόμην, μηδέν τι τούτων τὸ παράπαν ἐάσας ἀσήμαντον. ἐκείνη δὲ τούτων παρ' αὐτοῦ ἐνωτισαμένη ἔγνω ὡς ματαιόφρων ὁ ὁδοιπόρος καὶ ἀσύνετος καθέστηκεν, καὶ πρὸς αὐτὸν κατ' εἰρωνείαν ἀπεφθέγξατο· καὶ ἐπείπερ, ὡς φάσκεις, πάντα τὰ γυναικεῖα | μηχανήματα B f. 91
γέγραφας, ἀδύνατόν ἐστιν γυναικὶ εἴτε καὶ ἐμοὶ αὐτῇ τεχνάσασθαί τι πρὸς σὲ ἢ

RETRACTATIO.

ὦ φίλε; ὁ δὲ εἶπε· στρατοκόπος ὑπάρχω, καθὼς ὁρᾷς, καὶ ἀπὸ μακροῦ τόπου ἦλθον ἐνταῦθα. καὶ γὰρ ἐξῆλθον ἀπὸ τὴν πατρίδα μου, ὅπως νὰ μάθω φρόνησιν καὶ νὰ ἐγνωρίσω τὰ τῶν πονηρῶν γυναικῶν πονηρεύματα. τότε λέγει ὁ οἰκοδεσπότης πρὸς τὴν ἑαυτοῦ γυναῖκα· ὁ ἄνθρωπος οὗτος ξένος ἐστὶ τοῦ χωρίου ἡμῶν καὶ οὐδόλως ἤκουσε φαγεῖν εἰς τὴν τράπεζαν ἡμῶν· ἐξέβη γὰρ ἀπὸ τῆς πατρίδος αὐτοῦ καὶ ὅλας τὰς χώρας | περιεπάτησε καὶ πάσας τὰς πονηρίας τῶν γυναικῶν ἔμαθε καὶ ἔγραψεν. p. 91
ἀλλ' ἀναστᾶσα, γύναι, ᾠκονόμησον αὐτῷ ἰδίως τὰ πρὸς τροφὴν αὐτοῦ, ὡς ἂν παρ' ἡμῖν οὗτος ὁ ξένος μετὰ καλῆς φιλίας τραφῇ. ἡ δὲ γυνὴ πάντα ἐποίησε καθὼς ὁ ἀνὴρ ἐνετείλατο καὶ τὸν ξένον εἰσήγαγεν εἰς τὸ ἐνδότερον οἴκημα καὶ παρέθηκε τράπεζαν μεστὴν τροφῶν. εἶτα ἐπηρώτησεν αὐτὸν λέγουσα· τί ἐποίησας, ὦ ἄνθρωπε; γέγραφας πάσας τὰς τῶν γυναικῶν πονηρίας; ὁ δέ, ναί, φησίν, οὐδεμίαν πονηρίαν τῶν γυναικῶν ἢ ἐπιβουλὴν ἢ κατασκευὴν κακὴν ἄγραφον ἀφῆκα. ἡ δὲ γυνὴ τῶν λόγων τούτων ἀκούσασα κατέλαβεν αὐτὸν εἶναι ἄγνωστον καὶ ματαιόφρονα καὶ πρὸς αὐτὸν εἰρωνευομένη ἔλεγεν· ἐπειδή, ὡς λέγεις, ὦ ξένε, πάντα τὰ πονηρεύματα ἔγραψες, ἀδύνατον

---

1 καὶ ἐκ] κἀκ C ib. ἐκ γὰρ C 2 μαθεῖν C 2 sq. γυν. κατ.] κατ. γυν. C 3 ἐκείνου] αὐτοῦ C ib. φησὶ B 4 ὡς om. C ib. τούτου — χωρίον] τοῦδε τοῦ χωρίου πεφύκει C 5 περιελθὼν — ὅλας] τὰς χώρας περιιὼν τὰς C 6 πᾶσας ἐκμεμάθηκε] ἁπάσας, ὡς φησίν, ἐκμεμαθήκει C 7 αὐτοῦ om. C 8 sqq. καὶ — ἐπηρώτα] ὁ μέντοι ἀνὴρ ἐξειπὼν ἔξεισιν. ἡ δὲ γυνὴ τὸν ὁδοιπόρον C 9 πρὸς βρῶσιν in B ante αὐτῇ ex 7 iterata eieci 10 ἄρα om. C, qui post τί πεποίηκας addit φησίν ib. τὴν τῶν γυν.] τῶν γυν. τὴν C 11 τὰς πανουργίας ἀπεγρ.] ἀπεγρ. τὰς μηχανουργίας C 12 τὰς σκαιορίας B, σκαιωρίας C ib. μὴ ἀντὶ τούτων B 13 ἐάσης B ib. ταῦτα παρ' αὐτοῦ ἐνωτισθεῖσα ἔγνωκεν C 14 καθέστηκε C 14 sq. κατειρωνίαν B et ἱ pro εἰ etiam C pr. ut videtur 15 ἐφθέγξατο C ib. πάντα om. C 16 ἐστι C ib. εἴτε κἀμοὶ αὐτῇ C, ἤτω καὶ ἐμοὶ αὐτὴ B 18 ναμάθω F 23 ᾠκονόμισον D 26 ἐπηρώτισεν F

διὰ λόγου ἢ διά τινος πράξεως· πλὴν ἄκουσον τῶν ἐμῶν ῥημάτων· ἰδού, καθορᾷς

RETRACTATIO.

ἐστι γυναῖκα, ἐὰν καὶ ἐγώ εἰμι, τεχνάσασθαί τι πρὸς σὲ πονηρὸν ἢ διὰ λόγου ἢ ἔργου· p. 92 πλήν, ὡς ἐὰν λέγω σοι μιᾶς γυναικὸς ἔργον, | ἄκουσον ἐὰν ἔχῃς γραμμένον τοῦτο. ὁ δὲ εἶπεν· εἰπέ. ἡ δὲ γυνὴ ἔφη·

Ἦν τις ἀνὴρ ἔχων γυναῖκα τιμίαν καὶ φρόνιμον, ὅστις ἀεὶ περισύρων τὰς γυναῖκας ὅλας ἐτύγχανεν. ἡ δὲ γυνὴ ἀντέλεγε τῷ ἀνδρί· μὴ ὕβριζε πάσας, ἀλλὰ τὰς κακάς. ὁ δὲ ἀντέφησεν· ὅλας. ἡ δέ, μὴ οὕτως λέγε, φησίν, ἐπείτοι γε οὐκ ἔτυχεν ἐμπλακῆναι ἐν μιᾷ τούτων. ὁ δὲ λέγει· εἰ ἐτύγχανον ἐν μιᾷ τούτων κακῇ, ἔμελλον αὐτὴν ῥινοτομῆσαι. πλησίον γὰρ τῷ οἰκήματι αὐτοῦ φιλονεικοῦσαι ἐτύγχανον αἱ γειτόνισαι, καὶ οὗτος καθ' ἑαυτὸν ὕβριζεν αὐτάς. ἡ δὲ γυνὴ λέγει τῷ ἀνδρί· σήμερον τί ποιεῖς; ὁ δὲ λέγει· ἀπέρχομαι εἰς τὸ χωράφιον· καὶ σὺ ἀργὰ μαγείρευσόν τι καὶ φέρε μοι ἔξω νὰ φάγω. ἡ δὲ ἀπελθοῦσα εὗρε ὀψάρια κατὰ τὴν ὁδὸν καὶ ἠγόρασε. καὶ τὸ μὲν μαγέρευμα μετὰ τοῦ τζουκαλίου ἐκόμισε τῷ ἀνδρὶ αὐτῆς φαγεῖν. αὕτη στρεφομένη πρὸς p. 93 τὸ ὀσπήτιον ῥίπτει κατὰ τὴν τοῦ ἀρότρου σκαφὴν ἓν γυλλάριον, ἀλλαχοῦ δὲ δύο, | ἕως ὅτου ἔρριψεν ὅλα. καὶ ὁ ἀνήρ, τῆς γυναικὸς διαβάσης, ἐρχόμενος μετὰ τῶν βοῶν ἀροτριᾶν, εὑρίσκει τὰ ὀψάρια ἐρριμμένα, ποῦ μὲν δύο, ποῦ δὲ τρία, καὶ ἐσύναξεν αὐτά. καὶ ἀργὰ σχολάσας ἄπεισιν εἰς τὴν οἰκίαν, καὶ λέγει τῇ γυναικί· οὐκ ἐποίησάς τι, ὥστε φαγεῖν ἡμᾶς ὀψέ; ἡ δέ, μὴ ἔχουσά τι, εἶπεν, ἢ κρέας ἢ ὀψάρια ἢ ἄλλο τι, οὐκ ἐμαγείρευσα. καὶ ὃς φησίν· ἰδοὺ ὀψάρια ἃ εὗρον ἐν τῷ χωραφίῳ, καὶ ἔψησον αὐτά. ἡ δὲ ἀκούσασα, τὰ μὲν ὀψάρια λαβοῦσα ἔκρυψε· τράπεζαν δὲ θεῖσα, λέγει ὁ ἀνήρ· τὰ ὀψάρια ποῦ; ἡ δέ, ποῖα ὀψάρια; φησί. ὁ δὲ λέγει· μωρή, οὐκ ἔφερά σοι ἀρτίως ὀψάρια ἃ εὗρον εἰς τὸ χωράφιν; ἡ δὲ ἅμα ταῖς ὄνυξι σπαράξασα τὰς παρειὰς ἐβόησε· ἀκούσατε, γείτονες. καὶ τῶν γειτόνων συναχθέντων λέγει ἡ γυνή· ἀκούσατε, ἄρχοντες· ὀψάρια γυλλάρια λέγει μοι ἑψῆσαι ἃ ἔφερεν ἀπὸ τὸ χωράφιον. καὶ οἱ ἄνθρωποι συναp. 94 χθέντες λέγουσι τῷ ἀνθρώπῳ· τί λέγεις; ἐν τῷ ἀγρῷ ὀψάρια | εὑρίσκονται; ὁ δὲ λέγει· αὐθέντες καὶ ἀδελφοί, ἐγὼ εὗρον αὐτὰ ἐκεῖσε· πῶς δὲ εὑρέθησαν οὐκ οἶδα. τότε τῆς γυναικὸς βοώσης ὅτι· δαιμόνιον ἔχει οὗτος, οἱ δὲ γείτονες ἐν ποσὶ καὶ χερσὶ πέδαις σιδεραῖς ἔβαλον· καὶ ὅλην τὴν νύκταν ὁ δειλαῖος ἔλεγε· καὶ οὐχ εὗρον τὰ γυλλάρια καὶ κομίσας δέδωκα τῇ κυνὶ ταύτῃ, εἰπών· ἕψησον αὐτά; κατὰ τί δὲ ἐσιδέρωσάν με; τῆς δὲ πάλιν βοώσης καὶ ἡμέρας ἐπιγενομένης παραγίνονται οἱ γείτονες ἐρωτῶντες· τί γέγονας; ὁ δὲ καὶ αὖθις τὴν ἀλήθειαν ὁ ἄτυχος ἔλεγε. τῆς δὲ γυναικὸς βοώσης ὅτι· δαιμόνιον ἔχει, οἱ ἄνθρωποι ῥᾳδίως ἐπίστευον τὴν γυναῖκα, καὶ ἔλεγον· ἀληθῶς ὁ ἄνθρωπος ἔπαθέ τι. μετὰ δὲ τρίτην ἡμέραν λέγει ἡ γυνὴ τῷ ἀνδρί· πεινᾷς; ἵνα σοι δώσω τι φαγεῖν. ὁ δὲ λέγει· ναί· καὶ τί ἔχεις δοῦναί μοι φαγεῖν; ἡ δέ· ὀψάρια τηγάνου. ὁ δέ· κα-

---

1 ἐμῶν om. B ib. ἰδοὺ ὡς ὁρᾷς C 2 λόγον et λόγου D 3 ὡς ἐὰν] ὡς ἂν Ebh. 4 εἶπε F (an pro εἶπεν?) 7 ἔτυχες Ebh. 8 κακῇ delendum? 9 γειτόνησαι D. cf. p. 38, 30 13 ἐκόμιζε legit Du Cange s. v. μαγερεύειν ib. αὕτη] αὐτὴ citat Du Cange Append. p. 52, εἶτα? Ebh. 14 ὀσπήτιον Ebh. (quo teste EF ὀσπήτιον habent), ὀσπίτιον Du Cange (ibid.) Boiss. ib. τὴν τοῦ Du Cange ibid., τὴν τῶν D, τοῦ EF ib. γυλλάριον] ita E (et F?), «in A est compendium quod ad γυλλάρι fere ducit» (Boiss.), γυλάρι citat Du Cange l. l. 16 ἐρριμένα F 18 εἰπεῖν D ib. ὀψάριον EF 24 γυλλάρια seclusit Ebh. 27 δὲ om. E ib. ἐν τῇ («forsan ἐν τοῖς» Boiss.) ποσὶ D ib. πέδαις σιδεραῖς casus accusativus est 28 νύκτα F ib. δείλαιος Ebh. 31 πάλιν βοώσης? Ebh., qua coniectura recepta supra (29 sq.) deleverim vv. τῆς δὲ πάλιν βοώσης

τὸν ἐμὸν ἄνδρα ὡς εἰς βαθὺ γῆρας ἐλήλακεν, ἐγὼ δὲ νεᾶνις ἔτι, ὡς βλέπεις, καθέστηκα καὶ τῶν ἀνδρῶν συνουσίας πάνυ ἐφίεμαι, σὺ δ', ὡς ὁρῶ, νέος πέφυκας· καὶ ἰδοὺ ἔτυχες κατακόρως φαγὼν καὶ πιών, ἔτυχε δὲ καὶ ὁ ἐμὸς σύνευνος ἐν τοῖς ἔξω τανῦν τυγχάνων· ἐγερθεὶς οὖν τὴν ἔφεσίν μου αὐτός μοι ἐκπλήρωσον. ταῦτα εἰπούσης τῆς γυναικὸς πρὸς ἀπάτην τοῦ ὁδοιπόρου πείθεται τοῖς λόγοις αὐτῆς ὁ ἠλίθιος ἐκεῖνος καὶ ἀναστὰς τὴν ζώνην τοῦ ἰδίου φιμιναλίου ἔλυε τοῦ τῇ κλίνῃ ἐπαναβῆναι. ἰδοῦσα δὲ ἡ γυνὴ τὸ τούτου πρὸς ἐπιμιξίαν ταχυρρεπές τε καὶ περισπούδαστον τὰς χεῖρας τῇ ἑαυτῆς κεφαλῇ ἐπιθεῖσα μεγαλοφώνως ἐκραύγασεν. εὐθὺς δὲ οἱ τοῦ χωρίου κάτοικοι ἐπὶ τῇ αὐτῆς κραυγῇ πρὸς τὴν οἰκίαν συνέδραμον, ὁ δέ γε ὁδοιπόρος ἐκείνης οὕτω βοώσης κἀκείνων πρὸς αὐτὴν συντρεχόντων καὶ τῆς τραπέζης ἔτι πρὸ αὐτοῦ κειμένης ἐκάθητο πάλιν σφόδρα δεδιὼς καὶ ἐρυθριῶν καὶ ἐν ἀμηχανίᾳ τυγχάνων. εἰσελθόντες δὲ οἱ ἀγρῶ-

RETRACTATIO.

λῶς εἶπας, ὦ γύναι· ἃ σοι ἐκόμισα ὀψάρια ἀπὸ τὸ χωράφιν, ταῦτά εἰσι; καὶ ἅμα ἡ
γυνή· ἄρχοντες χριστιανοί, ἀκόμη | τὸ δαιμόνιον κατέχει τοῦτον, καὶ πάλιν ὀψάρια λέ- p. 95
γει. τοῦ δὲ εἰπόντος· οὐκ ἔτι τὸν λόγον εἴπω τοῦτον, ἡ γυνὴ ἔδωκεν αὐτῷ καὶ ἔφαγεν
ἀπὸ τῶν ὀψαρίων ἐκείνων, μὴ εἰπόντι λόγον περὶ τούτου. ὕστερον δὲ λέγει τῇ γυναικί·
λῦσον με. ἡ δὲ λέγει· μὴ ὀψαρίων μέμνησαι; ὁ δὲ λέγει· οὐκ οἶδα τί λέγεις. τότε ἔλυ-
σεν αὐτόν, καὶ λέγει· ὦ ἄνερ, ὅσα εἶπας, καλῶς εἶπας· ἀλλὰ διότι ὕβριζες οὐχὶ τὰς
κακὰς γυναῖκας μόνον ἀλλὰ καὶ τὰς καλάς, κἀγώ σοι εἶπον· σιώπα, σὺ δὲ εἶπας· ἂν
εἶχον ἐγὼ τοιαύτην πονηρὰν γυναῖκα, ἔμελλον αὐτὴν ἀνελεῖν, διὰ τοῦτό σοι ἐποίησα
ὅσα εἶδες· καὶ μηκέτι καυχᾶσαι περιγενέσθαι τῶν γυναικῶν. τούτοις οὖν τοῖς λόγοις
προσέθηκε τῷ ξένῳ καὶ λέγει αὐτῷ· τὸν ἐμὸν ἄνδρα βλέπεις, ὦ ξένε, κατὰ πολὺ γη-
ραιὸν ὄντα κἀμὲ πάλιν νέαν καὶ εὔμορφον, καὶ τὴν τῶν ἀνδρῶν ὁμιλίαν ἀγαπῶ πολλά,
σὲ δὲ νέον ὄντα καὶ δυνάμενον τὴν ἐπιθυμίαν μου χορτάσαι. ὁ ἀνήρ | μου ἐστὶν ἔξω p. 96
μετὰ τῶν φίλων, καὶ σὺ ἀναστὰς πλήρωσον τὴν ἐπιθυμίαν μου. ὁ δὲ ξένος ἐκεῖνος
ἀπατηθεὶς ἔλυε τὴν ζώνην τοῦ βρακίου τοῦ ἀναβῆναι τῇ κλίνῃ. ὡς γοῦν εἶδεν ἡ γυνὴ
τὸ πρὸς συνουσίαν σύντομον τοῦ ξένου, ἅμα βαλοῦσα τὰς χεῖρας ἐπὶ τὴν ἑαυτῆς κε-
φαλήν, τὴν κόμην ἐσπάραττε βοῶσα· βαβαί! ὀττοτί! καὶ τότε οἱ ἐν τῷ χωρίῳ οἰκοῦν-
τες προσέδραμον καὶ οἱ καλεσμένοι. ὁ δὲ ξένος αὐτὴν βοῶσαν εἰδὼς καὶ τὸ πλῆθος
εἰσρέον εἰς τὸν οἶκον, πάλιν ἐκάθισεν ἔμπροσθεν τῆς κειμένης αὐτῷ τραπέζης, φόβῳ
συνεχόμενος πολλῷ καὶ μὴ ἔχων τί διαπράξασθαι. οἱ δὲ γεωργοὶ εἰσελθόντες λέγουσι

1 εἰς om. B ib. ἐληλάκει γῆρας C 1 sq. ἐγὼ δὲ νεάνις ἔτι ὡς βλέπεις καθέστικα B, νεᾶνις δ' ἐγὼ C 2 ante τῶν Ebh. inserit τῆς ib. σὺ δ'] καὶ σὺ δ' C 2 sq. πέφυκας — ἔτυχες] εἶ, ἔτυχες δὲ καὶ C 3 sq. δὲ — τυγχάνων] δ' ὁσαύτως καὶ ὁ σύνευνος ὁ ἐμὸς ἀποδημῶν C 4 sq. μου — ἐκπλήρωσον] μοι ἐκπλήρου C 6 αὐτοῖς καὶ λίθιος ἐκεῖνος καὶ ἀναστὰς B, αὐτός (αὐτῆς corr. Ebh.) καὶ ἀναστὰς ὡς εὐήθιος καὶ ὄντως ἠλίθιος C ib. ἔλυε τοῦ ἰδίου φιμιναλίου C 7 τῷ τὴν κλίνην C 7 sq. τὸ πρὸς ἐπιμιξίαν αὐτοῦ ταχυρρεπές (ταχυρεπές B) τε καὶ ῥάδιον C 8 ἑαυτῇ C pr. ib. ἐπιθεῖσα κεφαλῇ C 9 εὐθέως C 10 συνέδραμον] ἐπέθεον ἰδεῖν τί τοῦτ' ἦν C ib. in margine ιζ C 10 sq. κἀκείνων — συντρεχόντων] τῶν ἐγχωρίων πρὸς αὐτὴν ἐρχομένων C 11 πρὸς αὐτοῦ B 11 sq. κειμένης — δεδιὼς καὶ] ἱσταμένης ἦν δεδιὼς ἐσταμάλιστα C 12 ἐναμηχανία τυγχάνων B, ἀμηχανῶν ἐπὶ τῷδε C 12 sq. οἱ ἀγροῖκοι λέγουσι C 14 ἀκόμι D 16 ἐκείνων om. (DE) Boiss. ib. εἶπέν τι D, εἰπὼν ἔτι Ebh. ib. δὲ om. F 22 καταπολὺ F «ut saepe» (Ebh.) 23 ἀγαπῶσα F, ἀγαπῶσαν Ebh. 24 ὁ δ' ἀνήρ? Ebh. 29 ἰδὼν Ebh. 30 εἰς ῥέον F 31, item 71, 14 τι (DE) Boiss. Ebh.

ται λέγουσιν τῇ γυναικί· τίνος ἕνεκεν, ὦ γύναι, ἐπὶ τοσοῦτον ἐβόας; ἡ δὲ πρὸς αὐτοὺς ἀντέφησεν· οὗτος ὁ ξένος παρ' ἡμῶν φιλοφρονούμενος καὶ ἀπὸ τῆσδε τῆς τραπέζης ἐσθίων ὑπό τινος θρύμματος τὸν φάρυγγα χαλεπῶς ἐπεσχέθη καὶ μικρὸν ὅσον ἐκινδύνευεν ἀπαγχονισθῆναι. ἐγὼ δὲ αὐτίκα ἐπὶ τῷ συμβάντι τούτῳ ἀθρόον καιρίως ἀλγήσασα καὶ τὸν ἄνδρα παντελῶς ἐκλείπειν ὑποτοπάσασα οὕτως ὡς ἠκούσατε ἐκραύγασα. νυνὶ δὲ τῆς τοῦ θεοῦ ἀρωγῆς προφθασάσης ἀπηλλάγη ἐκείνης τῆς συνοχῆς καὶ τῆς προτέρας εὐεξίας ἐν καταστάσει γέγονεν. ταῦτα εἰπούσης ἐκείνης ἐξῆλθον τῆς οἰκίας οἱ ἐκεῖσε δραμόντες ἅπαντες. ἡ δὲ γυνὴ ἐγγίσασα τῷ ὁδοιπόρῳ λέγει πρὸς αὐτόν· ἆρά γε τοῦτο ὅπερ εἰς σὲ διεπραξάμην ἔχεις ἀπογεγραμμένον; ὁ δὲ ξένος, οὐδαμῶς, ἔφη. ἡ δέ, μάτην λοιπόν, ὦ ἄνθρωπε, τοὺς κόπους σου καὶ τὴν δαπάνην ἀνήλωσας· πολλὰ γὰρ ἀγωνισάμενος ἀνηνύτοις ἐπεχείρησας καὶ τὰς τῶν γυναικῶν μηχανουργίας οὔπω κατενόησας. ὁ δὲ ἅμα τῷ λόγῳ ἐκείνῳ ἐγερθεὶς καὶ τὰ γραφέντα ἐνεγκὼν τῷ πυρὶ ἐνέβαλεν καὶ θαυμάζων ἔλεγε ὡς· οὐδεὶς ἀνθρώπων διαγνῶναι δύναται τὰ

RETRACTATIO.

τῇ γυναικί· πῶς ἔπαθες; καὶ τίς ἡ αἰτία τῆς τοσαύτης σου βοῆς; ἡ δὲ πρὸς αὐτοὺς εἶπεν· οὗτος ὁ ξένος ὁ παρ' ἡμῶν φιλοφρονούμενος ἀπὸ τῆς τραπέζης ἐσθίων ὑπό τινος θρύματος ψίχας τὸν λαιμὸν ἐκρατήθη κακῶς, καὶ παρὰ μικρὸν ἐκινδύνευε πνιγῆναι. ἐγὼ δὲ ἐξαίφνης ἰδοῦσα τὸ συμβὰν καὶ δειλιάσασα τὸν θάνατον τοῦ ξένου,
p. 97 οὕτως ὡς ἠκούσατέ | μου ἐβόησα. νῦν δὲ ἡ τοῦ θεοῦ βοήθεια προφθάσασα ἠλευθέρωσεν αὐτὸν τῆς ἀνάγκης τοῦ πνιγμοῦ, αὐτὴν τὴν ὑγείαν χαρισαμένη. ταῦτα τῆς γυναικὸς εἰπούσης ἅπαντες διέβησαν. ἡ δὲ γυνὴ ἐκείνη πλησιάσασα τῷ ξένῳ λέγει πρὸς αὐτόν· ἆρα ὅσον σοι διηγησάμην καὶ ὅσον ἄρτι ἐποίησα ἔχεις γεγραμμένον; ὁ δὲ ξένος, οὐδαμῶς, ἔφη. ἡ δὲ πρὸς αὐτόν· μάτην λοιπόν, ὦ ἄνθρωπε, τοὺς τοσούτους κόπους καὶ τὰς ἐξόδους ἐποίησας· πολλὰ γὰρ σπουδάσας οὐδὲν ἐποίησας, καὶ τὰς τῶν γυναικῶν μηχανουργίας οὔπω κατενόησας. ὁ δὲ ἅμα τῷ λόγῳ ἐκείνης ἀναστὰς καὶ τὰ γεγραμμένα παρ' αὐτοῦ τῶν γυναικῶν λαβὼν τῷ πυρὶ ἐνέβαλε καὶ θαυμάζων ἔλεγεν ὡς· οὐδεὶς ἀνθρώπων γνωρίσαι δύναται τὰ τῶν γυναικῶν πανουργεύματα. μετὰ δὲ ταῦτα

---

1 ἐπὶ τοσοῦτον, ὦ γύναι, ἀνεβόησας C 1 sq. ἡ δὲ φησὶ πρὸς αὐτούς C 3 τόν, non τήν, etiam C 4 ἐκινδύνευε ἀπαγχονιθῆναι B ib. ἐγὼ — τούτῳ] ἐγὼ δ' αὐτίκα ἐπὶ τῷδε τῷ συμβάντι C 5 ἀθρόων καὶ κυρίως B ib. τελέως ἐκλιπεῖν C 6 ὡς ἠκούσατε om. C ib. ἀρρωγῆς BC 7 ἐκείνης] ταύτης C ib. γέγονε C 8 εἰπουσης αὐτῆς ἐξίασιν οἱ δραμόντες (ἐπιδραμόντες corr. Ebh.) ἅπαντες C 9 ἐγγίσασα — ἆρά] προσπελάσασα τῷ ὁδοιπόρῳ ἔφησεν οὕτως. ἄρά C 9 sq. ὅπερ ἤδη διεπραξάμην εἰς σέ, τοῖς λοιποῖς ἀπεγράψω (προσαπεγράψω Ebh.) C 10 οὐδαμῶς, ἔφη] οὔ, φησὶν, οὐδαμῶς C 10 sq. λοιπὸν] τοίνυν C 11 σου om. C ib. ἀνάλωσας C 12 ἐπεχείρισας. καὶ τὰς B, ἐπεχειρήσω, τὰς δὲ C 13 ἐκείνῳ ἐγερθεὶς] διεγερθεὶς C ib. διενεγκὼν C 14 πυρὶ ἐπετέφρωσεν (ἀπετέφρωσεν Ebh.). εἶτα καὶ θειαζόμενος ἔλεγεν· οὐδεὶς βροτῶν διαγνῶναι δύναιτ' ἂν τὰ C 17 θρύμματος Ebh. ex C ib. ψύχας D, ψύχας et ψίχας E, ψιχὸς malebat Boiss., seclusit Ebh. 20 αὐτῷ τὴν ὑγείαν D. immo αὐτὴ τ. ὑ. (cf. προφθάσασα) 22 ἄρα F «ut saepius» (Ebh.) ib. σοι om. F 26 «Forsan περὶ vel κατὰ τῶν γ. Et sic Ven[eta editio]: ὅσα πράγματα ἔγραψε κατὰ τῶν γυναικῶν» Boiss., delenda censet τῶν γυναικῶν Ebh.

τῶν γυναικῶν πανουργεύματα. μετὰ δὲ ταῦτα διαπορούμενος καὶ μηκέτι προσθεὶς τὰ γυναικεῖα συζητεῖν πρὸς τὴν ἰδίαν ἐπανῆκεν πατρίδα | καὶ ἀπερι- A f. 277 έργῳ τῇ γνώμῃ νόμιμον αὐτῷ γυναῖκα ἠγάγετο. ἐκ τούτων τοιγαροῦν, | ὦ B f. 92 βασιλεῦ, τῶν τῷ κράτει σου ἐξηγηθέντων παρὰ τῆς ἐμῆς εὐτελείας γνῶθι ἀκριβῶς ὡς ἀπέραντος ἡ τῶν γυναικῶν μοχθηρία, καὶ μὴ οὕτως ἀσυλλογίστως πρὸς τὴν τοῦ υἱοῦ σου συναρπαγῆς διαχείρισιν διὰ ψιλὴν γυναικὸς ὑποθήκην· εἰ γὰρ τὸν παῖδά σου θανάτῳ ὑποβαλεῖς, τίς ἄρα ἔσται τὸ ἀπ' ἐκείνου ἐπὶ τῇ σῇ πεποιθὼς προσπαθείᾳ; τούτων ὁ Κῦρος παρὰ τοῦ ἑβδόμου σοφωτάτου συμβούλου ἀκροασάμενος εὐθὺς ἕνα τὸν αὐτοῦ οἰκειότατον δορυφόρον προσεκαλέσατο καὶ τοῦτον πρὸς τὸν σπεκουλάτορα ἔστειλε κελεύων αὐτῷ μηδαμῶς ἀποκτεῖναι τὸν ἑαυτοῦ υἱόν.

Εἶτα τῆς ὀγδόης ἐπιστάσης ἡμέρας λύεται μὲν τοῦ τῆς σιωπῆς δεσμοῦ ἡ τοῦ παιδὸς γλῶττα, ἀρξάμενος δὲ φθέγγεσθαι λέγει πρός τινα κόρην πρὸ τῶν

RETRACTATIO.

διαπορήσας καὶ μὴ ἔχων τί διαπράξασθαι, οὐ προσέθηκε ζητῆσαι πλέον τὰ γυναικεῖα κακά. καὶ οὕτως εἰς τὴν ἑαυτοῦ πατρίδα ὑπέστρεψε καὶ ἁπλῶς γυναῖκα ἔγημεν. | ἀπὸ τούτων γοῦν, ὦ βασιλεῦ, τῶν ἐξηγηθέντων τῷ κράτει σου παρὰ τῆς ἐμῆς p. 98 οὐθενότητος καὶ εὐτελείας γνῶθι ἀκριβῶς ὡς ἀτελείωτός ἐστιν ἡ τῶν γυναικῶν πονηρία, καὶ μὴ οὕτως ἁπλῶς καὶ ἀνεξετάστως ὑπακούσῃς πρὸς τὸν τοῦ υἱοῦ σου φόνον διὰ μόνην ἄκαιρον καὶ μανιώδη γυναικὸς κατηγορίαν. εἰ γὰρ τὸν σὸν παῖδα φονεύσεις, τίς ἄρα ἐστὶν ὁ τῆς σῆς βασιλείας διάδοχος καὶ κληρονόμος τοῦ γένους σου καὶ τῆς ἀρχῆς; μὴ ἡ κακὴ σύμβουλος γυνὴ τὴν σὴν ἀρχὴν καὶ βασιλείαν διαδέξεται; καὶ τίς ἐστιν ὁ θαρρήσας ἐπὶ τὸ σὸν κράτος ὥστε δουλεῦσαί σοι; καὶ εἰ οὐ φθάσει ἀμοιβὰς παρὰ σοῦ λαβεῖν ἕνεκα ὧν σοι δεδούλευκε, παρὰ τίνος ἕξει τὰς ἀμοιβάς, τοῦ υἱοῦ σου ἀδίκως παρὰ σοῦ φονευθέντος; ὅπερ καὶ εἰς ὅλην τὴν οἰκουμένην ὄνειδος ἔσται σοι αἰώνιον. τούτων ὁ Κῦρος τῶν λόγων καὶ παραδειγμάτων καὶ διηγήσεων παρὰ τοῦ ἑβδόμου συμβούλου καὶ φιλοσόφου ἀκροασάμενος, τὰ σπλάγχνα μειλιχθείς, ἕνα τῶν αὐτοῦ δορυφόρων οἰκειότατον | δορυφόρον προσκαλεσάμενος, πρὸς τὸν σπεκουλάτορα ἔπεμψε, p. 99 κελεύων μηδαμῶς ἀποκτεῖναι τὸν ἑαυτοῦ υἱόν.

Εἶτα τῆς ὀγδόης ἐπιστάσης ἡμέρας λύεται μὲν τῆς τοῦ δεσμοῦ σιωπῆς ἡ τοῦ παιδὸς γλῶσσα. καὶ ἀρξάμενος λαλεῖν, λέγει πρός τινα γυναῖκα ἱσταμένην ἔμπροσθεν

---

1 sq. πρόσθεὶς B 2 ζητεῖν C ib. πατρίδα ἐπάνεισι C 2 sq. a vv. καὶ ἀπεριέργω denuo incipit codex A 3 ἑαυτῷ C ib. τοιγαροῦν] γοῦν τοί γὰρ οὖν A, τοίνυν C 4 σου νῦν ἐξηγημένων πρὸς C ib. γνώθη A, γνῶσθι B, ἴσθι C 5 ἀκριβῶς] ἀσφαλῶς C 6 υἱοῦ] παιδός C ib. διαχείρησιν BC, διάχείρησιν A, corr. Ebh. ib. διὰ — ὑποθήκην] ψιλαῖς ὑποθήκαις οὕτω γυναικὸς C 7 παῖδά σου] υἱὸν C ib. ὑποβάλοις C ib. τοαποτοῦδε C 8 Τοῦτον A ib. Κύρος A, Κύρος C ib. πρὸς τοῦ C. ib. σοφωτάτου συμβούλου] συμβούλου τοῦ σοφωτάτου C 9 εὐθέως C ib. τὸν αὐτοῦ οἰκϊότατον, δορυφόρων A, τῶν αὐτοῦ οἰκειοτάτων δορυφόρων B, τῶν δορυφόρων αὐτοῦ C 9 sq. καὶ — ἔστειλε] στείλας τῷ σπεκουλάτωρι C 10 σπεκουλάτωρα B ib. αὐτῷ om. C 11 υἱὸν αὐτοῦ C 12 ἐπιστάσης] ἐφισταμένης C 13 ἀρξάμενος δὲ] καὶ ἀρξάμενος C 14 τὰ] τὰ τῶν D, «ex linea scilicet 70, 27» Ebh. 20 et 22 «requiras ἔσται» Ebh. 21 κακοσύμβουλος Ebh. ib. ἀρχὴν] ταραχὴν D 27 δορυφόρον] δορυφόρων D pr., seclusit Ebh. praeeunte Boissonadio ib. σπεκουλά^τρ F, σπεκουλάτωρα Ebh. 29 τοῦ τῆς σιωπῆς δεσμοῦ Boiss.

αὐτοῦ ὀφθαλμῶν ἱσταμένην τυχαίως· ἀπελθοῦσα, νεᾶνις, κάλεσόν μοι τὸν τῶν φιλοσόφων τοῦ ἐμοῦ πατρὸς καὶ βασιλέως πρωτεύοντα. ἡ δὲ τῆς φθογγῆς τοῦ νεανίσκου ἀσμένως ἀκούσασα πορεύεται πρὸς τὸν φιλόσοφον ἐκεῖνον τὸν καὶ τῶν ἄλλων διαφορώτατον καὶ ἀπαγγέλλει αὐτῷ λέγουσα ὡς· ὁ τοῦ βασιλέως υἱὸς φθέγγεσθαι ἀπήρξατο καὶ προσκαλεῖταί σε ὡς αὐτὸν παραγενέσθαι. ὁ δὲ αὐτίκα δρομαῖος πρὸς τὸν παῖδα παραγίνεται καὶ τοῦτον χαριέστατα περιλαβὼν ποθεινότατα ἠσπάσατο. εἶτα ὁ παῖς προσφθεγξάμενος τῷ φιλοσόφῳ ἀνακαλύπτει αὐτῷ ὅτου χάριν παρ' ὅλας τὰς ἑπτὰ ἡμέρας σιωπῶν διετέλει, ἀλλὰ μὴν καὶ ὅσα πρὸς αὐτὸν ἡ πονηρὰ τοῦ βασιλέως παλλακὴ ἀφρόνως λελάληκε δῆλα τῷ φιλοσόφῳ πεποιήκει καὶ προσέθετο λέγων· μεγάλας τὰς εὐχαριστίας ὑπέχω τῷ θεῷ τε καὶ ὑμῖν, ὅτι με βιαίου καὶ ἀδίκου θανάτου τὸν ἀναίτιον ἐλυτρώσασθε καὶ τοῦ κινδύνου τῶν πρὸς τὸν βασιλέα καὶ πατέρα μου σκεωριῶν τῆς μοχθηρᾶς γυναικὸς ἐξηρπάσατε. ἀλλά μοι, κύριέ μου, πορεύθητι πρὸς τὸν βασιλέα καὶ γνώρισον αὐτῷ ὅσα σοι δεδήλωκα καὶ διωμίλησα, πρινὴ ἡ κακότροπος γυνὴ πρὸς αὐτὸν εἰσέλθοι καὶ τὰς τούτου διαφθείρῃ ἀκοὰς ὡς τὸ πρότερον. ὁ δὲ φιλόσοφος τῷ παιδὶ ἀπεκρίνατο· γίνωσκε, ὦ νεανία, ὡς καὶ ὁ σὸς

RETRACTATIO.

αὐτοῦ· συντόμως ἀπελθοῦσα, ὦ γύναι, κάλεσόν μοι τὸν πρῶτον τοῦ πατρός μου σύμβουλον καὶ φιλόσοφον. ἡ δὲ πρὸς τὸν φιλόσοφον ἄνδρα τῶν ἄλλων διαφορώτατον ἀπελθοῦσα, λέγει τῷ ἀνδρὶ ὡς· ὁ τοῦ βασιλέως υἱὸς μηνύει σε πρὸς αὐτὸν παραγενέσθαι. ὁ δὲ φιλόσοφος δρομαίως πρὸς αὐτὸν παραγίνεται καὶ τοῦτον ἀσμένως ἐναγκαλισάμενος ἠσπάσατο. καὶ ὁ παῖς ἅμα τῷ φιλοσόφῳ ἐφανέρωσε τὴν αἰτίαν, δι' ἣν τὰς ἑπτὰ ἡμέρας ἦν σιωπῶν, ἀλλὰ καὶ ὅσα ἡ παλλακὴ τοῦ βασιλέως εἶπε πρὸς αὐτὸν, καὶ προσέθηκε λέγων καὶ τοῦτο ὅτι· μεγάλας καὶ πολλὰς χάριτας τῷ θεῷ καὶ ὑμῖν, ὅτι με ἀδί-
p. 100 κου θανάτου τὸν ἀναίτιον ἐλυτρώσασθε καὶ τῶν κατασκευῶν | τῆς μιαρᾶς γυναικὸς ἃς ἐποιεῖτο πρὸς τὸν πατέρα μου, ἐξηρπάσατε. ἀλλὰ νῦν, φίλων πιστῶν ἀληθέστατε, πορεύθητι πρὸς τὸν πατέρα μου τὸν βασιλέα, καὶ ὅσα σοι εἶπον φανέρωσον πρὸ τοῦ τὸ μιαρὸν γύναιον εἰσελθεῖν καὶ τὰς ἀκοὰς τούτου διαφθεῖραι. καὶ ὁ φιλόσοφος· γίνωσκε, ὦ δέσποτα καὶ νεανία, ὡς καὶ ὁ σὸς διδάσκαλος εὐθὺς τὸ ἀκοῦσαί σε φθέγξασθαι πρὸς τὸν βασιλέα πορεύσεται. ἅμα τοίνυν τῷ λόγῳ μετὰ σπουδῆς ὁ φιλόσοφος

---

1 ἑαυτοῦ ὀφθαλμῶν B, ὀφθαλμῶν αὐτοῦ C ib. τῦχέως B, ταχέως C ad ἀπελθοῦσα relatum 2 φθογγῆς] φωνῆς ἀσμένως C 3 ἀσμένως om. B (?) C 3 sq. ἐκεῖνον — ἄλλων] τὸν ἑτέροις C 5 εἰς αὐτὸν παραγίνεσθαι C 6 δρομαίος A, δρομαῖως B, δρομαίως C. cf. Gelzer Leontios v. Neap. p. 168. praetulimus adiectivum propter p. 53, 4 ib. τὸν παῖδα] αὐτὸν C ib. τούτου B ib. περιπτυξάμενος C 7 ποθηνότατα A, om. C 8 ὁτοῦ A, ἐξότου B ut p. 48, 20 9 παλακῆ A, παλακὶ B 10 πεποίηκε C 10 sq. τᾶς ἐβεργεσίας καὶ εὐχαριστείας A 11 ἀδίκου καὶ βιαίου B 12 ἐλυτρώσασθαι AB ib. τοῦ κινδύνου τὸν B, τὸν κινδύνου τὸν A. in C pro τοῦ κινδύνου — γυναικὸς legitur: τὸν πατέρα μου καὶ βασιλέα, τῶν τῆς μοχθηρᾶς σκαιωριῶν, γυναικός, 13 σκαιώριων A 14 διώμίλησα A, διομιλήσασα B, διωμίληκα C ib. πρὶν BC 15 διαφθείροι (διαφθείραι legit Ebh.) ἀκοάς C, ἀκοὰς διαφθείρει B 16 ὁ δὲ — ἀπεκρίνατο om. B ib. ὁ om. B 18 ἄνδρα seclusit Ebh. 20 ἐναγκαλισάμενος F 22 παλακὴ F 23 post πολλὰς adiecit ἔχω Ebh. 28 εὐθὺς τῷ dubitanter ci. Boiss., μετὰ τὸ Ebh. 28 sq. φθέξασθαι F

διδάσκαλος ἅμα τῷ τὰ τῆς σῆς λαλιᾶς ἀ|κουτισθῆναι αὐτῷ πρὸς τὸν βασιλέα παραγένηται. ὁ δὲ παῖς, ἀληθῶς, εἶπε, τοῦτο φῄς, κύριέ μου· τὴν σήμερον γὰρ κἀκεῖνος πρὸς τὸν βασιλέα ἐλεύσεται. τούτων οὕτω παρ' ἀμφοτέρων πρὸς ἀλλήλους λεχθέντων ἐγείρεται ὁ φιλόσοφος μετὰ σπουδῆς καὶ πρὸς τὸν βασιλέα πορεύεται, καὶ εἰσελθὼν εἰς αὐτὸν καὶ τὴν συνήθη τούτῳ ἀποδοὺς προσκύνησιν λέγει αὐτῷ· βασιλεῦ, ζῆθι εἰς τὸν αἰῶνα, χαρᾶς σοι κομίζω εὐαγγέλια· σήμερον γὰρ ὁ υἱός σου τῶν τῆς σιωπῆς δεσμῶν λέλυται καὶ φθέ|γγεσθαι ἀδιακόπως ἤρξατο, καί με πρὸς τὸ σὸν ἔστειλε κράτος τοῦ δηλῶσαι τῇ σκηπτουχίᾳ σου τὰ περὶ αὐτοῦ ἅπαντα. ταῦτα εἰπὼν διεσάφησε τῷ βασιλεῖ ὅσα παρὰ τοῦ παιδὸς ἠκηκόει. ὁ δὲ βασιλεὺς χαρᾶς ὅτι πλείστης ἐπὶ τῇ ἀγγελίᾳ τοῦ φιλοσόφου πληρωθεὶς καὶ ὥσπερ ἄλλος ἐξ ἄλλου ὑφ' ἡδονῆς καταστὰς πρῶτα μὲν δώροις τὸν ἄνδρα τῶν ἀγαθῶν ἕνεκεν ἀγγελιῶν ἐδεξιώσατο, εἶτα καί τινας τῶν αὐτοῦ δορυφόρων ἀπέστειλε μετακαλούμενος τὸν παῖδα σὺν πολλῇ ταχυτῆτι.

A f. 278 · B f. 93

Εὐθὺς δὲ παραγίνεται πρὸς τὸν βασιλέα ὁ παῖς καὶ εἰσελθὼν προσεκύνησεν αὐτόν. ἀνέστη δὲ τοῦ θρόνου ὁ βασιλεὺς ἐκ περιχαρείας καὶ τῷ υἱῷ χαριέντως προσυπήντησεν καὶ τοῦτον περιλαβόμενος ποθεινότατα ἠσπάσατο. ὁ δὲ παῖς ἀνοίξας τὸ στόμα χαίρειν προσφθέγγεται τῷ βασιλεῖ. ὁ δὲ τῆς χειρὸς τοῦτον κρατήσας συνεδριάζειν αὐτῷ ἐπὶ τῆς βασιλικῆς καθέδρας ἐκέλευσεν, εἶτα φησὶν πρὸς τὸν φίλτατον υἱόν· τίς ἄρα ἡ αἰτία ἐτύγχανεν, ὦ τέκνον ποθεινότατον, τῆς ἐπὶ

RETRACTATIO.

ἧκε πρὸς βασιλέα καὶ συνήθως προσκυνήσας, ζῆθι, βασιλεῦ, ἔφη, εἰς τὸν αἰῶνα μετὰ τοῦ διαδόχου σου. χαρᾶς ἥκω εὐαγγέλια κομίζων σοι σήμερον· ὁ γὰρ υἱός σου, τῶν σιωπῆς δεσμῶν λυθείς, ἄρτι ὡς ἀηδὼν λαλεῖν ἤρξατο κἀμὲ πρὸς τὸ σὸν κράτος διέπεμψε ταῦτα διασαφῆσαι. ὁ δὲ βασιλεὺς τούτων ἀκούσας τῶν λόγων, χαρᾶς ἀπείρου πλησθεὶς καὶ ὥσπερ ἄλλος ἐξ ἄλλου ὑφ' ἡδονῆς γενόμενος, πρῶτα μὲν δώροις ἐδεξιώσατο τὸν φιλόσοφον, εἶτα καὶ δορυφόρους στείλας μετεκαλεῖτο τὸν παῖδα. | ὁ δὲ παῖς παραγενόμενος τῷ πατρὶ προσεκύνησεν. ὁ δὲ βασιλεὺς καὶ πατὴρ τοῦ θρόνου ἀναστὰς ὑπὸ περιχαρίας, τῷ υἱῷ χαριέντως προσυπήντησε καὶ τοῦτον ἀγκαλισάμενος ποθεινότατα ἠσπάζετο. ὁ δὲ παῖς ἀνοίξας τὸ στόμα χαίρειν τῷ πατρί τε καὶ βασιλεῖ προσεφθέγξατο. ὁ δὲ πατὴρ τῆς χειρὸς κρατήσας, συνεδριάζειν αὐτῷ ἐπὶ τῆς βασιλικῆς καθέδρας ἐκέλευσεν. εἶτά φησι πρὸς τὸν φίλτατον υἱόν· τίς ἐτύγχανεν, ὦ παιδίον ἐρασμιώτατον, αἰτία τῆς τοσαύτης σου σιωπῆς καὶ ἀφωνίας ἐπὶ ταῖς παρελθούσαις ἑπτὰ p. 101

1 τὰ] κατὰ B, om. A ib. ἀ|ακούτισθήναι A 1 sq. παραγενήσεται C, παραγίνεται B 2 εἶπεν τοῦτο φησὶ B, φησι τοῦτο εἶπας C 3 ἐλεύσεται] παραγίνεται B 4 διαλεχθέντων C 5 πρὸς αὐτὸν BC ib. ἀποδιδούς C 6 χαράς A, sed idem etiam 10 χαρὰς 7 τὸν et δεσμὸν B ib. ἀδιακόπως om. C 8 ἐστείλατο C, διέστειλεν B ib. τοῦ om. C 9 ante ταῦτα C ins. καὶ ib. διεσάφησεν αὐτῷ ὅσα C 12 ἕνεκεν ἀγγελϊῶν A, ἀγγελιῶν ἕνεκα B, εἵνεκεν ἀγγελιῶν C ib. εἶτα τινὰς A 14 Εὐθὺς δὲ] ὅς C ib. παραγ. — ὁ παῖς] πρ. τ. β. ὁ παῖς παρ. B πρ. τ. β. ταχὺ παρ. C 15 αὐτῷ C ib. περιχαρίας BC (in C ι posterius corr. ex ει?), πε|περΐχαρΐας A 16 προσυπήντησε C ib. τοῦτον περιλαβόμενος] αὐτὸν περιπτυξάμενος C ib. ποθηνότατα hic et ποθηνότατον 19 A 17 τούτου B 19 τῆς ἐπὶ om. A 22 ante σιωπῆς ins. Ebh. τῆς ex C 25 μεταχαλεῖται D 27 προσυπήντισε F 31 ante αἰτία ins. ἡ Ebh.

ταῖς προλαβούσαις ἑπτὰ ἡμέραις τοσαύτης σου σιωπῆς καὶ ἀφωνίας καὶ ὅτου χάριν οὐδόλως μοι ἐν αὐταῖς λελάληκας, ὡς κἀμὲ διὰ τῆς σῆς σιγῆς ὑπὸ τῶν τῆς γυναικὸς ῥημάτων πρὸς ὄλεθρόν σου συναρπάζεσθαι καὶ πειρᾶσθαί σε ἀνελεῖν. ὁ δὲ νέος τῷ βασιλεῖ καὶ πατρὶ ἀπεκρίνατο· ὁ θεός, ὦ βασιλεῦ, ὅς ἐστιν ἀρωγὸς τῷ ἀνθρωπίνῳ γένει, οὗτός με τῆς σφαγῆς διεφύλαττεν. ὅτι δὲ μὴ ἐφθεγγόμην τῷ κράτει σου ἐφ' ὅλαις ταῖς προλαβούσαις ἑπτὰ ἡμέραις, γίνωσκε, ὦ δέσποτα, ὡς ὑπὸ τοῦ διδασκάλου μου Συντίπα ἐντεταλμένος ἐτύγχανον τοῦ μὴ τὸ παράπαν ἐντὸς τῶν ἑπτὰ ἡμερῶν λόγον τινὰ ἀποφθέγξασθαι. ὅτι δὲ καὶ ἡ γυνὴ
A f. 279 αὕτη πρὸς τὴν σφαγήν μου τὸ κράτος σου παρώρμα, | γνωρίζω σοι, βασιλεῦ, καὶ περὶ ταύτης, ὡς ὅτε πρὸς σὲ μετὰ τὸ πέρας τῆς διδασκαλίας τοῦ ἐμοῦ μυσταγωγοῦ παραγέγονα καί με μετ' ὀλίγον τῇ γυναικὶ ταύτῃ παραδέδωκας κἀκείνη με πρὸς τὴν αὐτῆς οἰκίαν ἀπήγαγεν, εὐθὺς ἡ γυνὴ ἀκόλαστος, ὡς ἐῴκει, τυγχάνουσα πρὸς συνουσίαν ἑαυτῆς με διηρέθιζε καὶ ᾑρεῖτο συγγενέσθαι με αὐτῇ. ἐγὼ δὲ σφοδρῶς ἐπὶ τῷ ἀτόπῳ τοῦ πράγματος, ὡς ἔδει, χαλεπήνας καὶ κατ' αὐτῆς ὀξύτατα θυμωθεὶς ὑπὸ τῆς κατεχούσης με τότε τοῦ θυμοῦ συγχύσεως καὶ ταραχῆς ἐπελαθόμην καὶ τῆς τοῦ διδασκάλου μου ἐντολῆς, ἥν μοι περὶ τῆς ἐν ταῖς ἑπτὰ ἡμέραις σιγῆς διεστείλατο, καὶ ἀποκριθεὶς ἔφην τῇ γυναικὶ ὡς οὐδὲν τό γε νῦν ἔχον περὶ ὧν μοι φής, ὦ γύναι, πρὸς σὲ ἀντιφθέγξομαι, ἄχρις ἂν

RETRACTATIO.

ἡμέραις; καὶ διὰ τί οὐδόλως ἐν αὐταῖς μοι λελάληκας, ὡς καὶ ἐμὲ ὑπὸ τῶν τῆς γυναικὸς ῥημάτων διὰ τὴν σιωπὴν ὑπαχθῆναί σε ἀνελεῖν; ὁ δὲ νέος τῷ βασιλεῖ καὶ πατρὶ ἀπεκρίνατο· ὁ θεός, ὦ βασιλεῦ, ὅστις ἐστὶ βοηθὸς ἀεὶ τῷ ἀνθρωπίνῳ γένει, οὗτός με τῆς ἀδίκου σφαγῆς διεφύλαξεν. ὅτι δὲ οὐκ ἐφθεγγόμην τῷ κράτει σου ἐπὶ ταῖς ῥηθείσαις ἡμέραις, γίνωσκε, δέσποτα, ὡς ὑπὸ τοῦ διδασκάλου μου Συντίπα παρηγγελ-
p. 102 μένος ἤμην τοῦ | μηδόλως ἐντὸς ἑπτὰ ἡμερῶν λόγον λαλῆσαί τινα. ὅτι δὲ καὶ ἡ γυνὴ αὕτη πρὸς τὴν σφαγήν μου τὸ κράτος σου παρεκίνει, γνωρίζω σοι, βασιλεῦ, καὶ περὶ τούτου ὡς ὅταν ὁ καιρὸς τοῦ μαθήματός μου ἐπλήρωσε καὶ ὁ διδάσκαλος ἔπεμψέ με πρὸς σὲ καὶ ἐλθὼν οὐκ ἐλάλουν σοι, παρέδωκάς με δὲ αὐτῇ· ἣ καὶ ἀπήγαγέ με εἰς τὴν οἰκίαν αὐτῆς καὶ ἀρξαμένη λαλεῖν με, ἐφάνη ἀκόλαστος καὶ πόρνη, πρὸς συνουσίαν καὶ μῖξιν ἑαυτῆς παρακινοῦσα· προῃρεῖτο γὰρ συγγενέσθαι μοι αὐτῇ. ἐγὼ γοῦν τὸ ἀναιδὲς ἰδὼν τῆς γυναικὸς καὶ τὸ ἄπρεπον τοῦ λόγου ἀκούσας, καὶ κατ' αὐτῆς μεγάλως θυμωθείς, ἐπελαθόμην καὶ τῆς τοῦ διδασκάλου μου παραγγελίας διὰ τὴν ἄτακτον ὁρμὴν αὐτῆς, καὶ λύσας τὴν σιωπὴν εἶπον πρὸς αὐτὴν ἡμέρως καὶ προσηνῶς ὅτι· οὐκ ἀπολογήσομαι ὅσα μοι λέγεις, ὦ γύναι, πρὸς σέ, ἕως οὗ ἑπτὰ ἡμέραι παρέλθωσιν ἀπὸ τῆς σήμερον, καὶ τῶν ἡμερῶν παρελθουσῶν ἀπολογήσομαί σοι τότε καθὼς

2 αὐτοῖς B 4 ὦ om. C ib. ἀρρωγὸς C 5 ἀνθρωπείῳ et διεφύλαξεν C 5 sq. φθεγγόμην τὸ κράτος σου B 7 σίντίπα A, συντύπα B ib τοῦ μὴ τὸ] τοῦ μὴ B, μὴ το C 8 λόγω A ib. φθέγξασθαι C 9 παρόρμα B ib. in marg. ιη C 10 πρὸ σὲ A 11 καὶ μετ' ὀλίγον A. an leg. καί με ὀλίγον? ib. παρέδωκας C παρέδοκας B 12 sq. ἀκολάστως ἔχειν τυγχάνουσα C 13 διηρέθιζε A, διερέθιζεν B, ἠρέθιζε C ib. ἥριτο συγγενέσθαι με A, ἡρεῖτο μοι συγγενέσθαι B, ἡρεῖτο με συγγενέσθαι C 15 κατασχούσης C 16 καὶ posterius et μου om. C ib. του om. B ib. περὶ τῆς om. C 17 σιγᾶν C ib. ὡς om. C 18 φὴς B, ἔφης C ib. πρὸ σὲ A 19 διατί F 29 «Forsan με αὐτῇ» Boiss.

ἑπτὰ ἡμέραι τὸ ἀπὸ τοῦ|δε παρέλθωσι, καὶ τούτων περαιουμένων καθώς σοι B f. 94 προσήκει περὶ ὧν μοι λελάληκας ἀπολογήσομαι. ταῦτα οὖν, ὦ βασιλεῦ, μόνον τῇ γυναικὶ τῷ τότε ἀντεφθεγξάμην μηδὲν ἕτερον μηκέτι προσθεὶς ἢ ἄλλοτέ τι φθεγξάμενος ἄχρι τῆσδε τῆς σήμερον ἡμέρας. καθὸ δέ γε τὰ τῇ γυναικὶ ἀρεστὰ οὐδαμῶς ἐγὼ τότε διεπραξάμην, εὐθὺς ἐκείνη πολλῷ τῷ φόβῳ ληφθεῖσα κἀντεῦθεν κινδυνεῦσαι δι' ἐμοῦ ὑφορωμένη ἔσπευδεν ἐντὸς τῶν ἑπτὰ ἡμερῶν ἀπωλείας με θέσθαι παρανάλωμα, καὶ σέ, ὦ βασιλεῦ, πρὸς τὴν σφαγήν μου παρεκίνει ἡ κακότροπος. ἀλλὰ τὸ μὲν τῆς ἐμῆς γε σιωπῆς αἴτιον ἤδη σου τῇ σκηπτουχίᾳ δεδήλωται· τοῦ λοιποῦ δὲ, εἴπερ εὐδοκεῖ καὶ ἐθέλοι τὸ κράτος σου, προσταξάτω ἱκανὸν ὄχλον συνελθεῖν καὶ πάντας τοὺς φιλοσόφους, ὅπως ἐπ' ἀκροάσει αὐτῶν ἀνακαλύψω ἐπὶ τοῦ ἀνακτορικοῦ σου βήματος ἥν με διδασκαλίαν ὁ φιλόσοφος Συντίπας ἐξεδίδαξεν.

Τούτων ἀκούσας τῶν ῥημάτων παρὰ τοῦ υἱοῦ ὁ βασιλεὺς ἐπὶ πλεῖον ἔχαιρε καὶ σφόδρα ἠγάλλετο, καὶ κελεύει πάντας τοὺς φιλοσόφους καὶ εἰδήμονας συναθροισθῆναι, ἀλλὰ μὴν καὶ αὐτοὺς τοὺς μεγιστᾶνας αὐτοῦ· καὶ δὴ πάντες ἐπὶ τὸ αὐτὸ πρὸς τὸν βασιλέα συνῆλθον. παραγίνεται δὲ πρὸς αὐτὸν καὶ ὁ τοῦ παιδὸς διδάσκαλος, καὶ εἰσελθὼν προσεκύνησεν αὐτὸν ἐπὶ τῆς γῆς. ὁ δὲ βασιλεὺς ὑπολαβὼν ἔφη πρὸς αὐτόν· ποῦ ἦσθα μέχρι τοῦ νῦν, σοφώτατε Συντί|πα; A f. 280

RETRACTATIO.

πρέπει σοι περὶ ὧν ἐλάλησας πρὸς ἐμέ. ταῦτα οὖν, ὦ βασιλεῦ, τῇ γυναικὶ ἀπεκρίθηκα, p. 103 μηδὲν ἕτερον πρὸς αὐτὴν εἰπὼν ἢ λαλήσας· ἀλλ' οὐδὲ ἄλλῳ τινὶ λελάληκα ἕως τῆς παρούσης ἡμέρας. διότι γοῦν ἔγωγε οὐκ ἐποίησα ἅπερ ἡ γυνὴ ἠγάπα, ἐκείνη φοβηθεῖσα καὶ ὑπολαβοῦσα ὅτι δι' ἃ μοι εἶπεν, ἐὰν ἄρξωμαι λαλεῖν, κινδυνεῦσαι μέλλει, ἠγωνίζετο ἐντὸς τῶν ἑπτὰ ἡμερῶν ἀπολέσαι με, καὶ τὸ σὸν κράτος πρὸς τὴν σφαγήν μου ἡ κακὴ καὶ δολία γυνὴ παρεκίνει. αὕτη ἡ αἰτία τῆς σιωπῆς, δέσποτα, ἣν ἐδήλωσα τῇ σκηπτουχίᾳ σου. τὸ λοιπόν, ὦ βασιλεῦ, εἰ θέλει τὸ κράτος σου, ὁρισάτω ἐλθεῖν ἀρκετὸν ὄχλον καὶ λαὸν καὶ πάντας τοὺς φιλοσόφους, ὅπως ἀκουόντων αὐτῶν ἐγὼ φανερώσω ἐπὶ τοῦ βασιλικοῦ βήματος ὅσα διδασκαλικῶς ὁ φιλόσοφος Συντίπας ἐδίδαξέ με.

Τούτων τῶν ἐκ τοῦ υἱοῦ λόγων ἀκούσας ὁ βασιλεὺς ἐπὶ πολὺ ἔχαιρε καὶ ἠγαλλιᾶτο. καὶ προστάττει πάντας τοὺς φιλοσόφους καὶ ἁπλῶς τοὺς λόγου μετέχοντας καὶ τοὺς αὐτοῦ μεγιστάνους καὶ ἄρχοντας παραγενέσθαι. | καὶ δὴ πάντων συνελθόντων καθὼς p. 104 ὁ βασιλεὺς διωρίσατο, ἦλθε καὶ ὁ τοῦ παιδὸς διδάσκαλος καὶ μέχρις ἐδάφους προσκυνήσας ἐκάθισεν. ὅτε καὶ ὁ βασιλεὺς ἔφη αὐτῷ· ποῦ ἦσουν μέχρι τοῦ νῦν, ὦ σοφώτατε Συντίπα; ὅτι καὶ διὰ τὸ σὲ μὴ φαίνεσθαι παρὰ μικρὸν ἀπέκτεινον ἂν τὸν υἱόν μου. ὁ

1 τοαπὸ τοῦδε παρέλθοιε C ib. παρέλθωσιν B ib. Καὶ τοῦτων παιρεουμένων A, καὶ τούτων περεουμένων B, παραρρυεισῶν δὲ τούτων C 2 μόνα C 3 τὸ τότε B ib. ἄλλοτε τι A, ἄλλό τι C 4 ἄχρις B ib. καθ' ὃ B 5 πολλῷ δέει C 6 ὑφωρουμένη (sed ου ex ο) C 7 παρέκίνει A, ἐκίνει B, παρώτρυνεν C 9 εὐδοκοίη C ib. ἐθέλοι] εἰθέλει B 10 προσελθεῖν B ib. ἐπακροάσει B, ἐπακροᾶσει A 11 διδασκαλίως B 12 σιντίπας A, σϊντύπας B ib. ἐξεδίδαξε C 13 ἀκούσας ὁ βασιλεὺς παρὰ τοῦ υἱοῦ τῶν ῥημάτων C ib. ἔχερεν B, ἔχαιρε μᾶλλον C 14 ἠγάλετο A, ἠγάλλητο B, ἠγαλλιᾶτο· ὃς C 15 αὐτοὺς om. C ib. μεγιστάνας A, μεγιστάνους B ib. καὶ μὲν δὴ C 16 δὲ om. B, πρὸς αὐτὸν om. C 17 πρεσεκύνησε τὸν βασιλέα C 18 ἦσθα] ἥθα A ib. συντοίπα A, σϊντύπα B 21 παρελθούσης F 22 διά μοι F

ὅτι γε διὰ τῆς σῆς ἀποδημίας μικροῦ δεῖν τὸν υἱόν μου ἀπέκτενον. ὁ δὲ Συντίπας τῷ βασιλεῖ ἀπεκρίνατο· ἐγώ, βασιλεῦ, τῷ υἱῷ σου ἐφ' ἡμέραις ἑπτὰ σιγᾶν ἐνετειλάμην, καθότι τὰ περὶ τῆς αὐτοῦ τύχης δι' ἀστρολογικῆς συζητήσεως ἐξερευνήσας ἔγνων ὡς εἰ ἐντὸς τῶν ἑπτὰ ἡμερῶν φθέγξαιτο, εὐθὺς θανάτῳ ὑποβληθείη· ὅθεν καὶ τοῦ σοῦ κράτους ἐμαυτὸν πόρρω πεποίηκα, ἕως ἂν ἡ τῶν ἑπτὰ ἡμερῶν περαιωθείη διορία. καὶ καλῶς ὁ υἱός σου πεποίηκε μηδαμῶς σοι ἐν αὐταῖς φθεγξάμενος. ὁ δὲ βασιλεὺς ἔφη· χάρις μεγίστη λοιπὸν τῷ θεῷ, ὅτι μου τὸν υἱὸν τῆς σφαγῆς διεφύλαξεν· εἰ γὰρ ἐκεῖνον παρ' ἐμοῦ ἀναιρεθῆναι συνέβη, ἐξαρθῆναι ἂν τῆς γῆς τὸ ἐμὸν ἐκινδύνευεν ὄνομα.

Ταῦτα εἰπὼν ὁ βασιλεὺς προσκαλεῖται τοὺς φιλοσόφους, καὶ τούτους ἐγγυτέρω μετὰ καὶ τοῦ Συντίπα παραστησάμενος, τοῦ παιδὸς ἐκ δεξιῶν συνεδρίου τῷ βασιλεῖ καθεστηκότος, ἐπηρώτα τοὺς φιλοσόφους λέγων· γνωρίσατέ μοι τανῦν, εἴπερ ἄρα τὸν ἐμὸν υἱὸν ἐντὸς τῶν ἑπτὰ ἡμερῶν ἀνῃρηκέναι εἶχον, τίνι τὸ αἴτιον τῆς ἐκείνου B f. 95 σφαγῆς ἐπεγρά|φετο, ἐμοί, τῷ υἱῷ μου ἢ τῇ γυναικί; ἐγγίζουσι δὲ τῷ βασιλεῖ τέσσαρες τῶν φιλοσόφων, καὶ ἀποκριθεὶς θάτερος αὐτῶν ἔφη· ἡ αἰτία αὕτη, ὦ βασιλεῦ, τοῦ Συντίπα ἐτύγχανεν· ἐπειδὴ γὰρ ἐκεῖνος ἐγίνωσκεν ὡς ἡ ἐντὸς τῶν ἑπτὰ ἡμερῶν τοῦ σοῦ παιδὸς λαλιὰ κίνδυνον αὐτῷ ἐπάγει, ἵνα τί μὴ παρ' ἑαυ-

RETRACTATIO.

δὲ Συντίπας τῷ βασιλεῖ ἀπεκρίνατο· ἐγώ, βασιλεῦ, τῷ υἱῷ σοῦ παρήγγειλα ἐν ἡμέραις ἑπτὰ σιωπᾶν, διότι τὰ τῆς αὐτοῦ τύχης δι' ἀστρολογικῆς ἐρευνήσας μεθόδου ἐγνώρισα εὑρὼν ὡς εἰ ἐντὸς ἑπτὰ ἡμερῶν λαλήσει, θανάτῳ ὑποβληθείη. διὰ τοῦτο κἀγὼ μακρὰν ἀπὸ τῆς βασιλείας σου ἐκρύβην, ἕως οὗ παρέλθῃ ἡ διωρία αὕτη. ὅθεν καὶ καλῶς πεποίηκε μηδόλως λαλήσας σοι ἐν αὐταῖς ταῖς ἡμέραις. ὁ δὲ βασιλεὺς ἔφη· χάρις μεγίστη λοιπὸν τῷ θεῷ, ὅτι μου τὸν υἱὸν ἐκ τῆς ἀδίκου σφαγῆς διεφύλαξεν· εἰ γὰρ ὁ υἱός μου ἐφονεύετο παρ' ἐμοῦ, ἐκινδύνευεν ἐξαλειφθῆναι ἐκ γῆς τὸ ἐμὸν ὄνομα.|

p. 105 Ταῦτα εἰπὼν ὁ βασιλεὺς προσκαλεῖται τοὺς φιλοσόφους αὐτοῦ καὶ πλησιέστερον αὐτοῦ μετὰ τοῦ Συντίπα παραστησάμενος, τοῦ παιδὸς ἐκ δεξιῶν συγκαθέδρου ὑπάρχοντος, ἠρώτα τοὺς φιλοσόφους λέγων· εἴπατέ μοι νῦν, ὦ ἄνδρες· ἐὰν τὸν υἱόν μου ἐφόνευον ἐντὸς τῶν ἑπτὰ ἡμερῶν, τίνι τὸ αἴτιον τοῦ φόνου ἐπεγέγραπτο, ἐμοί, τῷ υἱῷ μου, ἢ τῇ γυναικί; τότε οἱ τῶν φιλοσόφων τέσσαρες ἐγγίζουσι πλησίον τῷ βασιλεῖ, καὶ ὁ εἷς ἀπ' αὐτῶν εἶπεν· ὦ βασιλεῦ, ὡς νομίζω ὅτι ἡ αἰτία τοῦ φόνου τοῦ Συντίπα ἦν· ἐπειδὴ γὰρ ἐκεῖνος ἐγίνωσκεν ὡς ἐὰν λαλήσῃ ὁ παῖς ἐντὸς τῶν ἑπτὰ ἡμερῶν, θανάτῳ ὑποπεσεῖται, διὰ τί οὐκ ἐκράτει μετ' αὐτοῦ τὸν υἱόν σου, ἀλλ' ἔπεμψέ σε αὐτόν; καὶ ὁ δεύτερος ἀπε-

---

1 τη σῆς A ib. δεῖν] δὴν A, δὴ B ib. ἀπέκτεινα C 1 sq. σιντήπας A, σιντύπας B 2 τῷ βασιλεῖ] αὐτῷ C ib. ἐν ἡμέραις ἑπτὰ B, ἐφ' ὅλαις ἡμέραις C 4 φθέγξετο, εὐθὴς A, φθέγξητο, εὐθὺς B, φθέγξοιτο, παραχρῆμα C 6 διωρία CB 7 φθεγξάμενος ἐν αὐταῖς C ib. λοιπὸν τῷ] τοίνυν τῷ ἀθανάτῳ C 8 εἰ γὰρ τοῦτον C 9 συνέβαινεν C ib. τῆς — ἐκινδύνευεν] ἐκινδύνευε τὸ ἐμὸν τῆς γῆς C 10 τοὺς αὐτοῦ φιλοσόφους B ib. καὶ τούτους] οὓς C ib. ἐγγύτερον B 11 μετά τοῦ B, σὺν τῷ C ib. σιντίπα A, σἱντύπα B ib. συνέδρου Ebh. 12 τὰ νυν B, νὺν C 13 sq. τῆς σφαγῆς ἐκείνου ὑπεγράφετο B 15 καὶ — αὐτῶν] ὧν θάτερος ἀποκριθεὶς C 16 σιντίπα A, σιντύπα B ib. ἐγίνωσκεν addidi. C infra (17) post αὐτῷ inscrit ᾔδει ὅτι, quae vv. olim ad ὡς in margine apscripta alieno loco in textum irrepsisse videntur 17 sq. παρ' ἑαυτῷ C 20 ὡς εἰτὸς D, ὡς ἐντὸς EF, corr. Boiss. ib. κἀγὼ F, ἐγὼ DE 29 οἱ] δὴ Ebh. 32 σεαυτόν F, σοι αὐτόν scripsit Ebh. «ut sententia perspicua esset»

τὸν τοῦτον ἐτήρει, ἀλλὰ πρὸς τὸ σὸν κράτος ἀπέστειλεν; οὕτω τοῦ ἑνὸς φιλοσόφου εἰπόντος ὁ δεύτερος ἀπεκρίνατο· οὐ τοῦτό γε ὃ φάσκεις εὐάρμοστον· οὐ γάρ τις αἰτία τῷ Συντίπα πρόσεστι, καθότι οὐκ ἠδύνατο τὸν παρ' αὐτοῦ πρὸς τὸν βασιλέα ὑποσχεθέντα ὅρον ἐλλεῖψαι ἢ πλεονάσαι οὔτε τῷ βασιλεῖ τὸ παράπαν διαψεύσασθαι, καὶ διὰ τοῦτο μᾶλλον πόρρω τῶν αὐτοῦ ἀπομακρύνας ὀφθαλμῶν ἑαυτὸν κατέκρυψε, τὸν δὲ παῖδα πρὸς τὸν βασιλέα ἐξαπέστειλε. τοιγαροῦν ἡ αἰτία τῷ τὴν τοῦ παιδὸς ἀναίρεσιν ἐπιτάξαντι πρόσεστιν. ἀποκριθεὶς δὲ καὶ ὁ τρίτος φιλόσοφος ἔφησεν· οὐχ οὕτως ἐστὶ ὡς σὺ λέγεις· οὐ γὰρ ὁ βασιλεὺς τοῦ πράγματος αἴτιος, ἀλλ' ὥσπερ οὐδὲν ψυχρότερον τῆς τε καφούρας καὶ τοῦ ξύλου ὅπερ καὶ σάνταλον ἡ συνήθεια οἶδε καλεῖν, ἀμφότερα δὲ ἀλλήλοις | παρά A f. 281
τινος συγκατατριβόμενα σπινθῆρας πυρὸς μᾶλλον ἀποτελοῦσιν, οὕτω καὶ ἅπας ἀνήρ, κἂν ἄγαν εἴη συνετὸς καὶ ἀγχίνους, ἅμα τῷ αὐτὸν γυναικὶ προσομιλῆσαι, καὶ μᾶλλον τῇ παρ' ἑαυτοῦ ποθουμένῃ, εὐθὺς ὑπ' αὐτῆς τοῦ ἰδίου σκοποῦ πρὸς τὸ ἐκείνης μεθέλκεται θέλημα. ἡ γυνὴ τοίνυν τούτου ἐστὶν αἰτία τοῦ πράγματος, ὅτιπερ ψευδῶς τοῦ παιδὸς κατειποῦσα πρὸς ἀπώλειαν αὐτοῦ τὸν

RETRACTATIO.

κρίνατο· οὐκ ἔστι τοῦτο εὐάρμοστον· διότι οὐκ ἠδύνατο ὀλιγῶσαι ἢ πλεονάσαι τὸν καιρὸν ὃν συνεφώνησε τῷ βασιλεῖ καὶ διὸ οὐκ ἦν δυνατὸν ψεύσασθαι αὐ|τόν, ἔπεμψε p. 106
τὸν παῖδα πρὸς τὸν πατέρα κατὰ τὴν συμφωνίαν, ἑαυτὸν δὲ μακράν που ἀπέκρυψε. λοιπὸν ἡ αἰτία οὐκ ἔστι τοῦ Συντίπα, ἀλλὰ μᾶλλον, ὅσον μοι δοκεῖ, τοῦ βασιλέως ἐστὶν ἡ αἰτία τοῦ τὸν φόνον ὁρίσαντος φονευθῆναι. καὶ ἀποκριθεὶς ὁ τρίτος ἔφη· οὐχ οὕτω μοι δοκεῖ, τὸν βασιλέα αἴτιον εἶναι τοῦ φόνου· οὐδὲ γὰρ ὁ βασιλεὺς τοῦ πράγματος αἴτιος· ἀλλ' ὥσπερ οὐκ ἔστι λίθου ψυχρότερον ἀλλ' οὐδ' ἐλαφρότερον ἴσχας τῆς ἐκ ξύλου γενομένης, πυρεκβολουμένα δὲ τοῦ λίθου μετὰ σιδήρου καὶ ἴσχας φλόγα γεννῶσιν, οὕτω καὶ ἄνθρωπος μετὰ γυναικὸς πεσών, κἂν πολλὰ ἔστι νοῶν κἂν πολλὰ φρόνιμος, ἅμα τοῦ συμμιγῆναι ὁ τοιοῦτος ἢ τῇ γυναικὶ ἢ τῇ ἐρωμένῃ ἕλκεται πρὸς τὸν σκοπὸν τῆς γυναικὸς καὶ τὸ θέλημα· διὰ τοῦτο καὶ νῦν ἡ γυνή ἐστιν ἡ αἰτία τοῦ φόνου· ψευδῶς γὰρ κατηγοροῦσα τοῦ παιδός, ὡς μὴ αὐτῆς ἀκούσαντος παρεκίνει τὸν βασιλέα πρὸς φόνον διὰ τὸ | ἀγαπᾶν αὐτὴν καὶ διὰ τὸ μὴ φθάσαι τὸν υἱὸν συντυ- p. 107
χεῖν τῷ πατρὶ καὶ εἰπεῖν τὴν τῆς γυναικὸς ἀναισχυντίαν καὶ τἄλλα. τότε ὁ τέταρτος ἐλθὼν εἰς τὸ μέσον, ἔφη· οὐδ' οὕτως μοι δοκεῖ ἔχειν ὡς λέγετε· οὐδὲ γὰρ ἡ γυνὴ αἰτία

---

1 post κράτος B iterat τοῦτον ib. ἀπέστελεν A 3 σιντίπα A, σιντύπα B ib. πρόσεστιν B ib. οὐκ ἠδύνατο] οὐχ οἷός τε ἦν C 4 πλεονᾶσαι B ib. τῷ βασιλεῖ om. B 5 sq. μᾶλλον — ὀφθαλμῶν] πόρρω τῶν ὀφθαλμῶν αὐτοῦ ἀπομακρύνας C 6 ἀπέκρυψε C, ἀπέκρυψεν B ib. δὲ] δέ γε C ib. τῷ βασιλεῖ (om. πρὸς) C ib. ἐξαπέστειλεν CB ib. τοιγαροῦν] ὅθεν C 8 λέγης A, φής C 9 sqq. «Es giebt auf Erden nichts kälteres als Kampherbaum und Sandelholz; und doch wenn Jemand es an einander reibt, so kömmt Feuer heraus» Syrus Bäthgeni 9 καφοῦρας AB, καφουρᾶς C. cf. Ducangii Append. ad Gloss. 10 ὅπερ καὶ] ὃ C 10 sq. παρά τινος om. B 11 συντριβόμενα CB ib. ἀποτελοῦσι B 12 αὐτοῦ B 14 τὸ ταύτης C 15 ἀπόλειαν ἑαυτοῦ B 20 φόνον] υἱόν? Ebh. ib. ὁρίσαντος καὶ ὁρίσαντος D 22 ἔστι τι ci. Boiss., Ebh. praetulit ἄλλο οὐδ' 23 πῦρ ἐκβαλούμενον Du Cange App. p. 86, πυρεκβολουμένου Ebh. 26 ἡ seclusit Ebh. 30 λέγεται D

βασιλέα παρώτρυνε. παρελθὼν δὲ καὶ ὁ τέταρτος φιλόσοφος ἔφη· οὐδ' οὕτως ἔχει ὡς λέγετε· οὐδὲ γὰρ ἡ γυνὴ αἰτία καθέστηκεν, ἐπεὶ καὶ εἴωθεν ὡς τὰ πολλὰ ὄψις εὐειδοῦς νεανίσκου θέλγειν τὴν φύσιν τῆς γυναικὸς καὶ ὡς ἁπαλωτέραν θηρᾶσθαι, καὶ μᾶλλον εἰ τύχοιεν ὡς τὰ πολλὰ ἀλλήλοις αὐτοὺς καταμόνας ὡς φιλεῖ προσομιλεῖν· τότε γὰρ ἡ γυνὴ ἐπὶ πλέον πρὸς τὴν τοῦ νέου γαργαλίζεται συνουσίαν καὶ διερεθίζει αὐτὸν εἰς ἐκπλήρωσιν τῆς ἰδίας ἐφέσεως, ὅθεν καὶ αὕτη ἡ γυνὴ τῷ αὐτῷ συνεσχέθη ἔρωτι. ἐπεὶ δὲ οὐδαμῶς αὐτῇ ὁ τοῦ βασιλέως υἱὸς συγκατέθετο, ἀλλὰ μᾶλλον καὶ διαπειλεῖν αὐτῇ ἐδόκει, ἐδεδίει πάντως αὐτὸν ἡ γυνὴ καὶ ἑαυτὴν ἔσπευδεν ὑφορωμένου κινδύνου διατηρῆσαι, κἀντεῦθεν τὴν τοῦ νέου ἀναίρεσιν ὡς αὐτῇ συμφέρουσαν ἐπετηδεύετο. λοιπὸν B f. 96 οὖν ἡ αἰτία | τῷ νεανίσκῳ πρόσεστιν, ὅτι μὴ τὴν ἐντολὴν τοῦ διδασκάλου τετήρηκεν, ἀλλ' ἐφθέγξατο τῇ γυναικὶ δειμαλέον καὶ ἀπότομον λόγον. ὑπολαβὼν δὲ καὶ ὁ Συντίπας λέγει· οὐκ ἔστιν οὕτως, ὡς ὑμεῖς φατὲ, οὐδὲ ὁ παῖς αἴτιος καθέστηκε· καὶ γὰρ οὐδὲν τῆς ἀληθείας μεῖζον, καὶ πᾶς ὃς φάσκει σοφιστικὸν ἑαυτὸν τυγχάνειν, διαψεύδεται δὲ μάλιστα, ἐξουδένωταί τε ὄντως πᾶσα ἡ αὐτοῦ

RETRACTATIO.

ἐγένετο, ἐπεὶ συνήθειά ἐστιν ὡς ἐπὶ τὸ πλεῖστον κινεῖσθαι τὰς γυναῖκας καὶ κομπόνεσθαι ὁπόταν ἴδωσι νεανίσκον εὐπρεπῆ· ἡ γὰρ ὡραιότης τοῦ νέου ἀγρεύει τὴν φύσιν τῶν γυναικῶν ὡς ἀσθενεστέραν· καὶ μάλιστα γίνεται τοῦτο, ὅταν τύχωσιν οἱ δύο μόνοι λαλεῖν· τότε γὰρ πλέον ἐν μοναξίᾳ γαργαλίζεται ἡ γυνὴ πρὸς συνουσίαν καὶ παρακινεῖ τὸν νέον εἰς ἐκπλήρωσιν τῆς ἐπιθυμίας αὐτῆς. λοιπὸν καὶ ἡ πονηρὰ αὕτη γυνὴ τοιαύτῃ ἀγάπῃ ἐκρατήθη τῷ κάλλει τοῦ νέου. ἐπεὶ δὲ οὐκ ἤκουσεν αὐτὴν ὁ τοῦ βασιλέως υἱός, ἀλλὰ μᾶλλον ἐφάνη αὐτὴν ἀπειλῶν καὶ φοβερίζων, περισσοτέρως ἐφοβεῖτο καὶ ἔτρεμεν αὐτὸν ἡ γυνὴ, καὶ ἐσπούδαζεν ἐλευθερῶσαι αὐτὴν καὶ φυλάξαι p. 108 ἀπὸ φόβον καὶ κίνδυνον ὃν προσεδόκα παθεῖν διὰ | τοὺς λόγους αὐτῆς τοὺς κακοὺς, καὶ ἀπὸ ταύτης τῆς αἰτίας ἠναγκάζετο μετὰ τέχνης θανατῶσαι τὸν παῖδα. τὸ λοιπὸν ἡ αἰτία τοῦ νέου ἐστὶν, ὅτι μὴ τὴν ἐντολὴν τοῦ διδασκάλου ἐτήρησεν ἵνα σιωπήσῃ, ἀλλ' ἐλάλησε πρὸς τὴν γυναῖκα λόγον σκληρὸν καὶ φόβου γέμοντα. τότε ἀποκριθεὶς καὶ ὁ Συντίπας λέγει· οὐκ ἔστι, καθὼς νομίζω, οὕτως ὡς ὑμεῖς λέγετε· οὐδὲ γὰρ ὁ παῖς αἰτία ἐγένετο. ἀλλ' οὐδὲ τῆς ἀληθείας ἐστί τι μεῖζον ἢ ἀληθέστερον· καὶ γὰρ πᾶς ἄνθρωπος, ὅστις λέγει ἑαυτὸν σοφιστὴν ἢ ῥήτορα ἢ διδάσκαλον εἶναι ἢ φιλόσοφον, εἶτα ψεύδεται πλεῖστα, κατὰ ἀλήθειαν ὁ τοιοῦτος ἔξω γίνεται τῆς ἑαυτοῦ γνώσεως ἁπάσης, καὶ οὔτε σοφός ἐστιν οὔτε ῥήτωρ ἢ σοφιστὴς, ἀλλ' οὐδὲ τοῦ μέρους

---

1 καὶ om. B 2 λέγεται AB, εἴρηται C. cf. Syrum: «Es steht nicht so, wie ihr meint» (Bäthgen) 4 θηρᾶσθαι μᾶλλον, εἰ ἐτύγχανε καὶ ἀλλήλοις C ib. εἰ τίχιὲν ός τὰ πολὰ· ἀλλήλοις, αὐτους καταμήνας. ὡς φηλεῖ A ib. ἀλλήλους B 5 ὡς φιλεῖ om. C. fortasse legendum ὡς φίλους sive ὡς φίλοι. 7 καὶ αὔτῇ A ib. τῷ αὐτοῦ? Ebh. 7 sq. ὁ τοῦ βασιλέως υἱός αὐτῇ C 8 ἀλλὰ καὶ μᾶλλον διαπειλεῖν C ib. αὐτω ἐδόκει B ἐδόκει αὐτῇ C 9 καὶ ἑαυτὸν ἔπευδεν A ib. in marg. ιθ C 10 αὐτὴν B ib. ἐπιτηδεύετο. λοιπὸν B ἐπετήδευεν. ὅθεν C. ἐπετήδευε. τὸ λοιπόν? cf. metaphr. 11 οὖν om. CB 12 δειμαλαι (ο superscr.) B 13 συντίπασ A, σϊντύπας B 15 διαψεύδεται. καὶ ἐσταμάλϊστα ἐξουδένωται C 15 ταιόντος A, δὲ ὄντως B, om. C 16—20 ἐπεὶ — αὐτῆς affert Du Cange App. p. 108 neglegenter exscripta 26 ἐτήρησε F

σύνεσις καὶ οὐκ ἔστιν σοφὸς ὁ τοιοῦτος οὔτε μοίρᾳ σοφῶν συνηρίθμηται, ἀλλὰ τῆς τῶν ψευδολόγων καὶ ὑποκριτῶν ὁμηγύρεως καθέστηκεν.

Ὑπολαβὼν δὲ καὶ ὁ τοῦ βασιλέως υἱός λέγει τῷ πατρί· δέσποτα βασιλεῦ, ἐπίτρεψον κἀμοὶ ἀπόλογόν τινα πρὸς ταῦτα εἰρηκέναι. ὁ δὲ βασιλεὺς ἐκέλευσεν καὶ τὸν υἱὸν ἀποκριθῆναι. κἀκεῖνος εὐθὺς τοῖς φιλοσόφοις φησίν· ἡ ἐμὴ γνῶσις πρὸς τὴν ὑμετέραν σοφίαν ὡς μυῖα πρὸς δράκοντα πέφυκεν, ἀλλ' ὅμως μου τῶν ῥημάτων ἀκούσατε. Ἦν γάρ τις ἀνὴρ ὃς ἑστίασίν τινα πολυτελῆ παρετοιμασάμενος | A f. 282 πολλοὺς δαιτυμόνας εἰς δεξίωσιν κέκληκεν, εἶτα αὐτῶν ἀναπεσόντων καὶ ἐσθιόντων γάλα τούτους πεπωκέναι παρεσκεύαζεν. ἔστειλεν οὖν πρὸς τὴν ἀγορὰν τὴν ἑαυτοῦ δούλην τοῦ ὠνήσασθαι γάλα τοῖς κληθεῖσιν ἀνδράσιν, ἡ δὲ λαβοῦσα τὴν χύτραν ἐπὶ τὴν ἀγορὰν ἐπορεύθη καὶ ὠνήσατο γάλα· καὶ ἐπιθεῖσα τὴν χύτραν τῇ ἑαυτῆς κεφαλῇ πρὸς τὴν τοῦ κυρίου αὐτῆς οἰκίαν ἐπανήρχετο, αὐτῆς δὲ πορευομένης λοῦπος ἄνωθεν καταπτάς καί τινα ὄφιν ἐπιφερόμενος ἐπὶ τὴν χύτραν κατέπαυσεν. σφοδρῶς δὲ συνεχόμενος ὑπὸ τῶν τοῦ λούπου ὀνύχων ὁ ὄφις ἀπὸ τῆς πολλῆς βίας τὸν ἰὸν ἐξήμεσε παρὰ τὸ τῆς χύτρας στόμιον.

RETRACTATIO.

τῶν λογίων ἀριθμεῖται, ἀλλὰ μᾶλλον τῆς τῶν ψευδολόγων καὶ ὑποκριτῶν συνοδίας καὶ ξυναυλίας.

Ὑπολαβὼν δὲ τὸν λόγον καὶ ὁ τοῦ βα|σιλέως υἱὸς λέγει τῷ πατρί· δέσποτα, ὅρι- p. 109 σον κἀμὲ ἀπολογίαν τινὰ πρὸς ταῦτα δοῦναι καὶ ὑμῖν ἐμφανίσαι. ὅτε καὶ ὁ βασιλεὺς προέτρεψε τοῦτο. κἀκεῖνος εὐθὺς τοῖς φιλοσόφοις φησίν· ἡ ἐμὴ γνῶσις πρὸς τὴν ὑμετέραν σοφίαν ὡς μυῖα πρὸς ἐλέφαντα παραβάλλεται· ἀλλ' ὅμως τῶν ῥημάτων μου ἀκούσατε. ἄνθρωπός τις τράπεζαν πολυτελῆ οἰκονομήσας, πολλοὺς διὰ φιλίαν φαγεῖν προκαλέσατο. εἶτα τῶν κεκλημένων καθεσθέντων καὶ ἐσθιόντων, ᾠκονόμησεν αὐτοῖς πιεῖν γάλα. καὶ πέμψας εἰς τὸν φόρον τοῦ ἀγοράσαι γάλα τοῖς κεκλημένοις, ἀνέμενεν αὐτήν. αὕτη δὲ ἀγοράσασα τὸ γάλα καὶ ἐπιθήσασα τὸ γάλα ἐπὶ τὴν ἑαυτῆς κεφαλήν, ὡς ἔθος τισὶ γυναιξὶ ποιεῖν, εἰς τὴν οἰκίαν τοῦ δεσπότου αὐτῆς ἐπανήρχετο. ταύτης δὲ ἐρχομένης ἄνωθεν λοῦπος καταβὰς ὄφιν τινὰ ἥρπασε κρατῶν αὐτὸν ἐν τοῖς αὐτοῦ ὄνυξι. πετόμενος δὲ ἴσα κατέπτη τοῦ τζουκαλίου· | p. 110 καὶ ὁ ὄφις σφιγγόμενος σφόδρα ὑπὸ τῶν ὀνύχων τοῦ λούπου, ὑπὸ τῆς ἀνάγκης ἐξήμεσε τὸ φάρμακον· κἀκεῖνο χυθὲν κατέβη ἴσα εἰς τὸ στόμα τοῦ τζουκαλίου. καὶ οὕτω γενομένου οὐδ' ὅλως ἐνόησε τοῦτο

---

1 ἔστι C 2 καὶ om. B 4 ἐκέλευσε C 5 φησί B 6 μία A 7 ἀκοῦσατέ A ib. ἑστίαν B, ἑτοίαν A ib. πυλλυταιλῆ A, πολὺ B 8 εἶτα τούτων C 9 παρεσκεύασεν C. «Es war jedoch einmal ein Mann, der gab ein Gastmahl, auf welchem er seinen Gästen Milch vorsetzte. Als nun die Milch zu Ende war, schickte er seine Magd auf den Markt, um mehr zu kaufen» Syrus Bäthgeni ib. τὴν om. B 10 αὐτοῦ B ib. τοῦ om. C ib. ὀνίσασθαι A ib. ἀν-δρᾶσιν AB 11 γάλα ὠνήσατο C 12 τὸν τοῦ A 13 καί τινα ὄφιν] ὄφιν δέ τινα C 14 sq. κατέπαυσεν — ὁ ὄφις] κατέρριψε τὸν ἰόν τοῦ ὄφεως· οὗτος γὰρ σφόδρα ὑπὸ τῶν ὀνύχων τοῦ λούπου συνεχόμενος C. «da setzte ein Wind die Schlange in Bewegung und diese spritzte ihr Gift in den Milchtopf» Syrus Bäthgeni 15 παρὰ τὸ τῆς χύτρας ἐξήμεσε στόμιον C 18 sq. ὥρισον F 22 lemma τοῦ νέου βασιλέως νόημα 24 post πέμψας Boiss. ins. τὴν δούλην. forsitan post τὸν φόρον interciderit τὴν ἑαυτοῦ δούλην 25 τὸ γάλα posterius seclusit Ebh., τὸ τζουκάλι certe voluit scribere metaphrastes 26 ταῖς γυναιξὶ ci. Ebh. ib. πιεῖν F, et versa vice 80,18 D ποιεῖν 28 πετώμενος F 30 ἐννόησε F

τοῦ δέ γε ἰοῦ λοιπὸν ἐν τῷ γάλακτι ἐμεθέντος οὐκ ᾔσθετο περὶ τούτου τὸ παράπαν ἡ δούλη. ἀχθέντος οὖν εἰς τὸν οἶκον τοῦ τοιούτου γάλακτος ἐπεπώκεισαν αὐτὸ οἱ δαιτυμόνες καὶ εὐθὺς πάντες τεθνήκασιν. εἴπατε οὖν μοι, φιλόσοφοι, τίς τοῦ πράγματος ἐγεγόνει αἴτιος; εἷς δὲ τῶν φιλοσόφων ὑπολαβὼν ἔφη· ὁ ἑστιάτωρ· ἔδει γὰρ αὐτὸν πρὸ τοῦ τοὺς δαιτυμόνας πεπωκέναι ἐκ τοῦ γάλακτος, ἐπιτρέψαι τῇ δούλῃ τοῦ ἐκείνην πρότερον τούτου ἀπογεύσασθαι καὶ εἰθούτως τοῖς φίλοις αὐτοῦ μεταδοῦναι. ἀποκριθεὶς δὲ ὁ ἕτερος τῶν αὐτῶν φιλοσόφων ἔφη· οὐχ οὕτως ἔχει τὰ τοῦ πράγματος· οὐ γὰρ ὁ ἑστιάτωρ κατά τι παραίτιος, ἀλλὰ τῷ ὄφει ἡ αἰτία πρόσεστιν. ὑπολαβὼν δὲ ὁ ἕτερος φησίν· οὐδὲ οὕτως ἔχει, ὡς φατέ· οὐ γὰρ ὁ ὄφις μέμψεως ἐπάξιος, ἐπειδήπερ τῇ βίᾳ τῆς πιεζούσης αὐτὸν συνοχῆς, ὑφ' ἧς καὶ ἀπαγχονισθῆναι ἠναγκάζετο, τὸν ἰὸν ἐξήμεσεν. εἶτα καὶ ἄλλος τῶν φιλοσόφων ἀνταπεκρίνατο· ἡ αἰτία αὕτη τῷ λούπῳ μᾶλλον πρόσεστιν, ὅτιπερ ἐκείνου κραταιῶς τὸν ὄφιν συνέχοντός τε καὶ ἄγχοντος εἰς τὸ ἐμέσαι ὁ ὄφις συνηλάθη. παρελθὼν δὲ καὶ ὁ Συντίπας φησί· γνωστὸν ὑμῖν, ὦ ἄν-

RETRACTATIO.

ἡ δούλη, φέρουσα ἐπὶ κεφαλῆς τὸ τζουκάλιον. εἰσελθοῦσα δὲ εἰς τὸν οἶκον καὶ τὸ γάλα κομίσασα τοῖς ἐσθίουσιν, ἅπαντες ἔπιον ἐξ αὐτοῦ καὶ εὐθέως ἀπέθανον. εἴπατε οὖν μοι, φιλόσοφοι, τίς τούτου τοῦ θανάτου γέγονεν αἴτιος. εἷς δέ τις τῶν φιλοσόφων ἀποκριθεὶς ἔφη· ὁ τὴν τράπεζαν ποιήσας· ἔπρεπε γὰρ αὐτόν, πρὸ τοῦ πιεῖν τοὺς ἐν τῇ τραπέζῃ καθημένους ἐκ τοῦ γάλακτος ἐκείνου, πρότερον εἰπεῖν τῇ δούλῃ γεύσασθαι ἐξ αὐτοῦ, εἶτα μεταδοῦναι τοῖς φίλοις. ἀποκριθεὶς δὲ ὁ ἄλλος φιλόσοφος ἔφη· οὐχ οὕτως ἔχει τὰ τοῦ πράγματος· οὐ γὰρ ὁ ποιήσας τὴν τράπεζαν ἐγένετο αἴτιος, ἀλλὰ τοῦ ὄφεως ἦν ἡ αἰτία. ὑπολαβὼν δὲ ὁ ἕτερος ἔφη· οὐδὲ οὕτως ἔχει, ὡς ὑμεῖς λέγετε· οὐδὲ γὰρ ὁ ὄφις τῆς μέμψεως ἄξιος, ἐπειδήπερ τῇ ἀνάγκῃ τιμωρούμενος καὶ βιαζόμενος σφόδρα, μέλλων φουρκισθῆναι, τὸ φάρμακον αὐτοῦ ἐξέμεσε. εἶτα καὶ ὁ ἄλλος τῶν φιλοσόφων ἀπεκρίνατο· ἡ ἀφορμὴ αὕτη τοῦ θανάτου τῶν ἀνθρώπων μᾶλλον τῶν ἄλλων τῷ λούπῳ ἁρμόζει, διόπερ ἐκείνου τὸν ὄφιν ἰσχυρῶς κρατοῦντος καὶ πνίγοντος ἐπὶ τοσοῦτον ἠναγκάσθη ὁ ὄφις, ὥστε τὸ φάρμακον ἐκβαλεῖν. εἰσελθὼν δὲ ὁ Συντίπας εἶπε· γνωστὸν πάντως ἔστω τῷ κράτει σου, βασιλεῦ, ὡς οὐδὲν τῆς σοφιστικῆς τέχνης καὶ λογιότητος τὸ καθόλου ἀφῆκα, ὅπερ μὴ

---

1 λοιπὸν om C. ib. περὶ τοῦ|το παράπαν A, περὶ τοῦδε τοπαράπαν C 2 sq. τοῦδε τοῦ γάλακτος ἐπεπώκεισαν (non ἐκπεπώκεισαν) οἱ δαιτυμόνες αὐτό καὶ εὐθέως τεθνήκασιν ἅπαντες C 3 sq. τοῦ φόνου γέγονεν C 5 sq. αὐτὸν — τούτου] αὐτοῦ (αὐτὸν Ebh.) τοὺς δαιτυμόνας μὴ πρὶν πιεῖν παραδοῦναι τοῦ γάλακτος, ἄχρις ἂν ἐπιτρέψαι τὴν δούλην τήνδε (τουδε Ebh.) τοῦ γάλακτος C 5 ἐκ om. B (?) 6 ἐκείνου πρότερον (om. τούτου) B 6 sq. καὶ — μεταδοῦναι] εἰθ' οὕτω μεταδοῦναι τοῖς φίλοις C 7 ὁ ἕτερος (ita etiam A) φιλόσοφος ἔφη B, θάτερος τῶν αὐτῶν ἔφησε φιλοσόφων C 8 ἔχει τὸ πρᾶγμα C ib. κατά τι] κατέ|τη A, κατέστι B, om. C. minus placet κατέστη 9 οὐδὲ] οὔδε A 10 οὐδὲ γὰρ C ib. ἄξιος C 11 κατηναγκάζετο C ib. ἐξέμεσεν B 11—14 interciderunt in Syriaco ea quae ad vv. εἶτα — συνηλάθη respondebant 12 ἀπεκρίνατο τῶν φιλόσόφων C 13 ὅτι|πεπερ A 14 καὶ om. B ib. σηντίπας A, σΐντύπας B
20 φίλοις] δούλοις E 26 μάλα D 28—p. 81, 15 γνωστὸν — καθεστάναι intrusit metaphrastes a (80,14) ad (82,4) aberrans, quamobrem etiam 81,15 sq. ὁ δὲ βασιλεὺς — ἀπεκρίνατο ὅτι addita sunt et infra (82,18) ὡς καὶ πρὸ ὀλίγου σοι ἐδήλωσα. nihil horum habet Syrus 28 πάντη EF

δρες, ἔστω ὡς ἅπαν θεοδημιούργητον | ζῷον δύναμιν ἔχον ζωτικὴν οὐδὲν ἕτερον B f. 97 ἐσθίει, ἀλλ᾽ ὅπερ αὐτοῦ τῇ φύσει ὁ θεὸς ἀπέταξεν· τοιγαροῦν καὶ ὁ λοῦπος ἀπὸ τῶν τῆς γῆς ἑρπετῶν διατρέφεσθαι ταχθεὶς ἀναίτιος ἐπὶ τῷ συμβάντι καθέστηκεν. ὁ δὲ βασιλεὺς ταῦτα εἰπόντων τῶν φιλοσόφων ἐνατενίσας τῷ υἱῷ λέγει πρὸς αὐτόν· οἶμαι, ὦ υἱέ, ὡς οἱ παρόντες φιλόσοφοι οὐκ ἐπίστανται τίνι τόδε | προσυπῆρχε τὸ αἴτιον. πλὴν ἀλλὰ σὺ φράσον μοι· τίς ὁ γεγονὼς αἴτιος; ὁ δὲ A f. 283 παῖς τῷ βασιλεῖ ἀπεκρίνατο· οὐ κατά τι, ὦ δέσποτα βασιλεῦ, οἱ φιλόσοφοι σφάλλονται οὐδ᾽ ὡς τῇ ἀληθείᾳ προσκρούοντες ἀλληνάλλως φάσκουσι· πλὴν ὁ τοῖς τὸ γάλα πεπωκόσι συμβεβηκὼς κίνδυνος ἀπέκειτο τῇ εἱμαρμένῃ αὐτῶν καὶ ἔμελλον ἐκεῖνοι τῷ τοιῷδε τρόπῳ τοῦ βίου ὑπεξελθεῖν. /

Ὁ δὲ βασιλεὺς τὸν λόγον ὡς πάνυ δῆθεν εὐάρμοστον ἀποδεξάμενος ἥσθη λίαν ἐπὶ τῇ τοῦ υἱοῦ συνέσει καὶ τῇ αὐτοῦ συλλογιστικῇ τάχα καὶ σοφιστικῇ

RETRACTATIO.

ὅλον τῷ υἱῷ σου ἐδίδαξα, καὶ τοιοῦτον ἀπὸ τῆς ἐμῆς ἐπιμελείας καὶ προαιρέσεως θεοῦ χάριτι τῶν ὑπὸ τὴν βασιλείαν σου φιλοσόφων εἰ μὴ πρῶτον ἀλλ᾽ οὐδὲ δεύτερον αὐτὸν καθεστάναι. ὁ δὲ βασιλεὺς ὑπολαβὼν τὸν λόγον τοῦ Συντίπα, πρὸς τοὺς μεγιστάνους ἔφη ὅτι· | πάλιν ἀκούσωμεν τοῦ Συντίπα. καὶ ὃς ἀπεκρίνατο ὅτι· γνωστὸν καὶ ὑμῖν p. 112 ἔστω ὅτι πᾶν ζῷον ἐκ θεοῦ δημιουργηθὲν καὶ ἐν ἑαυτῷ ἔχον δύναμιν ζωτικὴν οὐδὲν ἄλλο τρώγει, εἰ μὴ ὅπερ προσέταξεν αὐτῷ ὁ θεός. λοιπὸν καὶ ὁ λοῦπος ἐκ τῶν τῆς γῆς ζῴων τρέφεσθαι ταχθεὶς ἀναίτιός ἐστιν ἐπὶ τῷ συμβάντι. καὶ ὁ βασιλεὺς ταῦτα εἰπόντων τῶν φιλοσόφων καὶ ὕστερον τοῦ Συντίπα ἐνατενίσας τῷ υἱῷ αὐτοῦ ἔφη. ὑπολαμβάνω, υἱέ, ὡς οἱ παρόντες οὗτοι φιλόσοφοι οὐ γινώσκουσι τίνι πάντων ἁρμόζει ἡ τοῦ συμβάντος αἰτία. πλὴν εἰπέ μοι σύ, τίς ὁ αἴτιος τοῦ τοιούτου θανάτου τῶν ἀναιτίων. ὁ δὲ παῖς τῷ βασιλεῖ ἀπεκρίνατο· εἰς οὐδέν, ὦ δέσποτα βασιλεῦ, οἱ φιλόσοφοι σφάλλουσιν οὐδὲ ὡς τῇ ἀληθείᾳ προσκρούονται, ἄλλος ἄλλο τι σφάλλονται· πλὴν ὁ τοῖς τὸ γάλα πεπωκόσι κίνδυνος ἐπέκειτο αὐτοῖς γενέσθαι ὑπὸ τῆς τύχης αὐτῶν καὶ ἔμελλον ἐκεῖνοι τοιῷδε τρόπῳ τῆς ζωῆς ἐξελθεῖν. | /

Ὁ δὲ βασιλεὺς τὸν λόγον τοῦ παιδὸς ὡς πολλὰ εὐάρμοστον ἀποδεξάμενος λίαν p. 113 ηὐφράνθη ἐπὶ τῇ τοῦ υἱοῦ συννοίᾳ καὶ φρονήσει καὶ τάχα ἐπὶ τῇ συλλογιστικῇ καὶ σοφιστικῇ αὐτοῦ φρονήσει καὶ ἀποκρίσει. φησὶ πρὸς τὸν Συντίπαν· ζήτησον ὅπερ ἂν

---

1 ὡς ἅπαν om. B ib. ἔχων AB ib. ἕτερον A (in quo τ ex πτ) et B 2 ἔσθήει A ib. ὁ θεὸς ἀπέταξε C, ὀπέταξε B 3 ταχθεὶς] ὁρισθεὶς C 4 ἐνατενήσας AB 5 αὐτῶ B ib. τόδὲ A, τῶδε B, τῶνδε ci. Ebh. 6 πρόσύπήρχε A, πρόσύπῆρχεν B 8 ἀλληνἄλλως A, ἀλληνάλως C ib. φάσκουσι] σφάλλονται B 9 τοῦ γάλακτος C, γάλα B ib. πεποκῶσι B ib. συμβεβηκόσι C ib. τῇ εἱμαρμένῃ τούτων ἀπέκειτο C 10 ἤμελλον οὗτοι C 11 πάνυ δῆθεν] λίαν C, qui post ἥσθη omittit λίαν et addit πάνυ ante συνέσει 12 αὐτοῦ] τούτου C ib. τάχα om. CB

13 post τοιοῦτον Ebh. add. ἀπέδειξα ὡς 14 οὐδὲ δεύτερον] «Glossator in E (et F): ἐκ τοῦ εἰπεῖν δεύτερον (β̄ου F), τὰ πρῶτα δέδωκε: scrib. οὐδὲ δεύτερον» Boiss. 16 sq. γνωστὸν ἔστω καὶ ὑμῖν ἔστω D 17 ἐν αὐτῷ D 19 τεχθεὶς EF 20 ἐνατενήσας F 23 εἰς om. E 24 σφάλουσιν F ib. προσκρούοντες ex C Ebh. ib. σφάλονται F 25 πεποκόσι F, πεποιηκόσι E. post πεπωκόσι Ebh. inseruit συμβεβηκὼς ex C a se correcto 28 συνοίᾳ F 28 sq. καὶ ἀποκρίσει σοφιστικῇ om. F 29 sq. φρονήσει καὶ ἀποκρίσει φησὶ vix dubium quin ex φρονήσει. καὶ φησὶ vel simili scriptura provenerit

ἀποκρίσει. καὶ φησὶν πρὸς τὸν Συντίπαν· αἴτησαι ὃ ἂν θελήσῃς, καί σοι παρὰ τῆς ἐμῆς βασιλείας βραβευθήσεται· ἀλλὰ καὶ εἴ τις περισσοτέρα σοι πρόσεστι διδασκαλία, κἀκείνην τῷ υἱῷ μου ἐκδίδαξον. ὁ δὲ Συντίπας τῷ βασιλεῖ ἔφη· γνωστὸν ἔστω σου τῷ κράτει, ὦ βασιλεῦ, ὡς οὐδὲν τῆς σοφιστικῆς τέχνης καὶ λογιότητος τὸ παράπαν ἐνέλιπον, ὅπερ μὴ τὸν υἱόν σου τὸ καθόλου ἐξεδίδαξα, ὡς καὶ πάντων τῶν ὑπὸ τὴν βασιλείαν σου φιλοσόφων ὑπέρτερον αὐτὸν καταστῆναι. ὁ δὲ βασιλεὺς ὑπολαβὼν πρὸς τοὺς μεγιστάνους αὐτοῦ καὶ αὐτοὺς δὴ τοὺς ὑπ' αὐτὸν φιλοσόφους ἔφη· ἆρά γε ταῦτα φιλαλήθως ἡμῖν ὁ Συντίπας φθέγγεται; οἱ δὲ ἀπεκρίναντο· καὶ μάλα, ὦ δέσποτα. ὁ δὲ τῷ υἱῷ αὐτοῦ ἐμβλέψας λέγει· σὺ δὲ τί φῄς, ὦ τέκνον; ἐν ἀληθείᾳ ταῦτα περὶ σοῦ ὁ σὸς φάσκει διδάσκαλος; οἱ δὲ φιλόσοφοι ἀντὶ τοῦ παιδὸς ἀποκριθέντες εἶπον· οὐδεὶς ὡς ὁ υἱός σου ἐν τῇ τῶν λόγων διαπρέπει κομψότητι.

Λέγει οὖν καὶ ὁ παῖς τῷ βασιλεῖ· γνωρίζω σου τῷ κράτει, ὦ δέσποτα, ὡς εἴ τις τῶν ἀνθρώπων μὴ τελείαν σχοίη σύνεσιν, οὐκ ἀποδίδωσι ἀγαθὰ τοῖς εὐεργετήσασιν αὐτόν, τὸν μέντοι τοιοῦτον διάστροφον μᾶλλον καὶ ἀσύνετον χρὴ ὀνομάζεσθαι, μηδαμῶς δὲ ἀγχίνουν καὶ συνετόν. ὁ οὖν διδάσκαλός μου

RETRACTATIO.

ἐθέλῃς παρὰ τῆς ἐμῆς βασιλείας, καὶ δοθήσεταί σοι. ἀλλὰ καὶ εἴ τις ἑτέρα διδασκαλία τινῶν πρόσεστι μαθημάτων, ἐκδίδαξον. γνωστόν σοι ἔστω, ὦ βασιλεῦ, ὁ Συντίπας ἔφη, ὡς καὶ πρὸ ὀλίγου σοι ἐδήλωσα, ὡς οὐδὲν τῆς σοφιστικῆς τέχνης καὶ λογιότητος ἀφῆκα καθόλου ὅπερ οὐκ ἐδίδαξα τὸν υἱέα σου, ὡς καὶ πάντων, θαρρῶ λέγειν, τῶν ὑπὸ τὴν βασιλείαν σου φιλοσόφων εἰ μὴ πρῶτον ἀλλ' οὐδὲ δεύτερον καταστῆσαι. ὁ δὲ βασιλεὺς τὸν λόγον ὑπολαβὼν τοῖς μεγιστᾶσιν ἔφη καὶ φιλοσόφοις· ἆρά γε ταῦτα ἡμῖν φιλαλήθως ὁ Συντίπας λαλεῖ; οἱ δὲ ἀπεκρίθησαν ὅτι· καὶ μάλα πολλὰ ἀληθεύει,
114 p. ὦ δέσποτα. καὶ ὁ βασιλεὺς ἀναβλέψας | πρὸς τὸν υἱὸν αὐτοῦ λέγει· σὺ δέ, ὦ υἱέ, τί λέγεις; ἐν ἀληθείᾳ περὶ σοῦ ὁ σὸς διδάσκαλος καλῶς φθέγγεται; καὶ οἱ φιλόσοφοι ἅμα εἶπον ἀποκριθέντες ἀντὶ τοῦ παιδός· οὐδείς, ὦ βασιλεῦ, ὡς ὁ υἱός σου ἐστὶν, ὁ ὑπερέχων τῇ τῶν μαθημάτων καὶ τῶν λόγων ἐπιστήμῃ, ῥητορικῇ τε φαμὲν καὶ τῇ ἄλλῃ σοφίᾳ. τότε καὶ ὁ παῖς λέγει τῷ πατρί τε καὶ βασιλεῖ· γνωρίζω σου τῷ κράτει, ὦ δέσποτα, ὡς ἐάν τις τῶν ἀνθρώπων οὐ τελείαν λάβῃ τὴν φρόνησιν καὶ τὴν μάθησιν, οὐκ ἀποδίδωσιν ἀγαθὰ τοῖς εὐεργέταις αὐτοῦ καὶ διδασκάλοις· τὸν δὲ ἀμαθῆ καὶ ἀπαίδευτον ἄνθρωπον ἄγνωστον καὶ ἄφρονα παντελῶς ὀνομάζειν πρέπει, ἀλλ' οὐδα-

---

1 φησί CB ib. σιντίπαν A, σἴντύπα B ib. θελείσῃ A, ἐθέλεις B, ἐθέλοις C ib. παρὰ] πρὸς C 2 εἰ της A, ἤ τις B 3 καὶ τήνδε τὸν υἱόν μου C ib. σιντίπας A, σἴντύπας B ib. ἔφη τῷ βασιλεῖ C 4 τῷ κράτει σου C ib. βασιλεὺ ut saepe A, βασιλεὺς B 5 σου τὸ καθόλου] γε τὸν σὸν C 7 μεγιστάνας B, μεγιστᾶνας C ib. αὐτοῦ om. C ib. αὐτοὺς δὴ om. C 8 ὑπ' αὐτῶν AB ib. σἴντύπας B 9 sq. ἐμβλέψας αὐτοῦ C 10 ἐν om. C ib. γε addit post σοῦ C 12 υἱόσου A ib. διαπρέπων (propter λόγων) B 13 sq. εἴ τι B 14 ἀποδίδωσιν BC 14 sq. τοῖς αὐτὸν εὐεργετήσασι C 15 sq. τὸν—συνετόν ignorat Syrus ib. χρὴ—συνετόν om. A 15 sqq. καὶ ἀσύνετον — ἀκριβῶς] εἶναι γινώσκομεν· οὗτος δὲ ἀκριβῶς C

20 τὸν υἱόν σου υἱέα D, τὸν υἱέα EF, τόν σου υἱέα Boiss., τὸν υἱέα σου Ebh. 21 οὐ δεύτερον D 25 καλῶς Ebh. seclusit «quippe e postremis syllabis v. antecedentis ortum» 28 φιλοσοφίᾳ D 30 τὸν δὲ τοιοῦτον ἀμαθῆ? Ebh.

Συντίπας ἐπιμόνως μου καὶ ἀκριβῶς ἐπιμελησάμενος δοκιμώτατόν με τῇ φιλοσοφίᾳ καὶ τῇ γνώσει κατέστησε, καὶ χρὴ τοῦτον παρὰ τῆς σῆς βασιλείας ἀξίαν τῆς ἐπιμελείας καὶ τὴν ἀμοιβὴν κομίσασθαι. ἐπεὶ δέ, ὦ βασιλεῦ, καὶ οὗτοί σου οἱ φιλόσοφοι ἐπιμαρτυροῦσί μοι ὡς καὶ αὐτῶν δὴ τοῖς λόγοις ὑπερτερῶ, ἄκουσόν μου τῆς παρούσης διηγήσεως. Δύο γάρ τινα παιδία ἐτύγχανον, τὸ μὲν χρόνων πέντε, τὸ δὲ τριῶν. ἦν δὲ καί τις ἀνὴρ γηραιὸς καὶ ἀνάπηρος ἅμα | καὶ παράλυτος, ὃς συνέσει καὶ ἀγχινοίᾳ σὺν ἐκείνοις ὑπῆρχε κατάκομος. A f. 303 ὁ δὲ βασιλεὺς τὸν εἱρμὸν ἀνακόπτων τοῦ διηγήματος | λέγει τῷ υἱῷ· καὶ τίς B f. 98 ἦν, τέκνον, ἡ ἐκείνων ὑπόθεσις; ἀναλαβὼν δὲ ὁ παῖς τὸν λόγον ἄνωθεν διηγεῖτο λέγων.

Ἀνήρ τις ἦν κίναιδος καὶ φιλήδονος λίαν, ὃς ἡνίκα περὶ γυναικὸς εὐειδοῦς ἠκηκόει, πρὸς ἐκείνην ἀκολασίας χάριν εὐθὺς ἐπορεύετο. ἐδηλώθη γοῦν αὐτῷ ἐν μιᾷ περί τινος ὡραιοτάτης γυναικός, καὶ αὐτίκα πρὸς αὐτὴν ἀπελήλυθε συνουσίας ἕνεκεν. εἶχε δὲ παῖδα ἡ γυνὴ ἐκείνη τριῶν ἐτῶν τῇ ἡλικίᾳ τυγχάνοντα, ὃς τῷ τότε τῇ μητρὶ ἔτυχε λέγειν· παρασκεύασόν μοι, ὦ μῆτερ, ἔδεσμά τι τοῦ φα-

RETRACTATIO.

μῶς καλόνουν καὶ γνωστικόν. ὁ δὲ διδάσκαλός μου Συντίπας σπουδαίως καὶ ἀκριβῶς ἐπιμελησάμενός μου, δοκιμώτατόν με τῇ φιλοσοφίᾳ, δυνάμει θεοῦ, καὶ τῇ γνώσει κατέστησε· καὶ πρέπει τοῦτον παρὰ τοῦ σοῦ κράτους ἀξίαν τῆς σπουδῆς καὶ ἐπιμελείας λαβεῖν καὶ τὴν ἀμοιβήν. ἐπειδὴ δέ, ὦ βασιλεῦ, καὶ οὗτοί σου οἱ φιλόσοφοι | συμμαρτυροῦσί p. 115 μοι ὅτι ὑπερβάλλω τούτους τοῖς λόγοις, δέομαί σου ἀκροάσασθαι τῆς διηγήσεως ταύτης· Δύο παιδία ἦσαν ἔν τινι τόπῳ, τὸ μὲν ἓν χρόνων πέντε, τὸ δὲ ἕτερον τριῶν. ἦν δὲ καί τις ἀνὴρ γηραιὸς καὶ ἀμαθὴς ἅμα δὲ καὶ παράλυτος, ὅστις ἦτον γεμάτος τῇ φρονήσει καὶ νοήμασι, σὺν τοῖς παισὶν ἐκείνοις. ὁ δὲ βασιλεὺς ανακόψας τὸν λόγον τῆς διηγήσεως λέγει τῷ υἱῷ· καὶ τίς ἦν, τέκνον, ἡ ἐκείνων ὑπόθεσις; ἀναλαβὼν δὲ πάλιν ὁ παῖς ἀρχῆθεν τὸν λόγον λέγει.

Ἀνήρ τις ἦν πανοῦργος λίαν καὶ πόρνος· ὅταν δὲ ἤκουε περὶ γυναικὸς εὐμόρφου, πρὸς ἐκείνην εὐθὺς ἐπορεύετο ἕνεκεν ὁμιλίας. ἐδηλώθη οὖν αὐτῷ μιᾷ τῶν ἡμερῶν περί τινος γυναικὸς κατὰ πολὺ ὡραίας· καὶ ἅμα πρὸς ἐκείνην ἀπῆλθε τοῦ συμμιγῆναι αὐτῇ. εἶχε δὲ ἡ γυνὴ παῖδα τριετῆ ὄντα. ἔτυχε δὲ τῇ ὥρᾳ ἐκείνῃ λέγειν τὸν παῖδα τῇ μητρί· ποίησόν μοι μαγέρευμά τι φαγεῖν. ἡ δὲ γυνὴ ὁρῶσα τὸν | ἄνδρα σπουδάζοντα p. 116

---

1 σιντίπας A, σιντύπας B ib. ἐπιμόνος A, ἐπεὶ μόνως B 3 δ' C 5 ὑπερτερῶ B (?) et confirmant Syrus et metaphrasta, ὑπερτέρω A, ὑπερτερεῖν compendio C cf. 4,9 ib. in marg. χ C 7 σὺν ἐκείνοις] pro σὺν ἐκ primum scriba dederat σῦνέσ (propter praegressum συνέσει), hinc fecit σὺνἐχ (ει), tum adiecit είνοις C 9 ἡ ἐκεῖνον B, ἡ τούτων C, om. A 11 χύναιδος C ib. καὶ φιλήδονος λίαν om. C 13 ἀπελήλυθεν B 14 ἕνεχεν AB, εἵνεχεν C ib. εἶχεν B ib. ἐτῶν τριῶν C 14 sq. ὃς τηνικαῦτα ἔτυχε λέγειν τῇ μ(ητ)ρί C 15 ἐδέσματι A

19 ἐπεὶ δὲ DF 20 ὑπερβάλω F ib. ante ἀκροάσασθαι D add. ἀκριβῶς 21 lemma in D: Ἴδιον νόημα τοῦ υἱοῦ βασιλέως, in EF: διον («omissa littera initiali» Ebh.) νόημα τοῦ υἱοῦ τοῦ βασιλέως. «Pro δίον puto esse legendum non ἴδιον, sed δεύτερον, nam p. 109 vidimus primum reguli νόημα. Voluisse videtur codicis (E) emendator rescribere διανόημα» Boiss. An leg. δύο νοήματα? 22 ἀμαθὴς] χαμπούρης (i. e. κυρτός, vide Corais Isocr. p. 161 extr.) Ebh. 23 [τῇ]? Ebh. 29 lemma: περὶ τοῦ τριετοῦς παιδός 30 μαγερεύματι F

γεῖν. ἡ δὲ ὁρῶσα τὸν ἄνδρα ἐκεῖνον πρὸς τὴν μετ' αὐτῆς κατεπειγόμενον ἀκολασίαν λέγει πρὸς αὐτόν· μικρόν με ἀνάμεινον, ἄνθρωπε, ἄχρις οὗ τῷ ἐμῷ παιδὶ βρώσιμόν τι παρασκευάσω. ὁ δὲ ὑπολαβὼν ἔφη τῇ γυναικί· ἄφες τό γε νῦν ἔχον τὴν τοῦ παιδὸς φροντίδα καὶ τοῦτο δὴ τὸ ἡμέτερον ἐκπλήρωσον ἔργον, μήπως γένηταί μοι χρονίσαι ἐνταῦθα. ἡ δὲ ἀντέφησε τῷ ἀνδρί· εἰ ᾔδεις, ὦ ἄνθρωπε, ὁποίαν οὗτος ὁ παῖς μου τὴν ἀγχίνοιαν κέκτηται, οὐκ ἂν τοιαῦτά μοι ἔλεγες. καὶ ταῦτα εἰποῦσα ἐγείρεται εὐθύς, καὶ ὅπερ ἦν ἑψήσασα ἔδεσμα ὀρύζιον τυγχάνον τῷ παιδὶ παρέθηκεν. ὁ δὲ παῖς εἰ καὶ μὴ πάντη νήπιος ἦν τῷ χρόνῳ, ἀλλ' οὖν ὀδυρόμενος διετέλει καὶ τὴν μητέρα ἠνάγκαζε περισσότερον αὐτῷ παρατεθεικέναι ὀρύζιον· οὐ γὰρ κεκόρεσμαι ἔτι, φησίν, ἀλλὰ πλείονος ὀρέγομαι. ἡ δὲ μήτηρ ἐποίησε κατὰ τὸ τοῦ παιδὸς θέλημα. ὁ δὲ αὖθις καὶ ἑτέρας παραθήκης ἐφιέμενος ἐπὶ πλέον πρὸς τὴν μητέρα ὠλοφύρετο. ὁ μέντοι ἀκόλαστος ἐκεῖνος ἀνὴρ δυσχεραίνων ἐπὶ τῇ ἀσελγείᾳ τοῦ παιδὸς καὶ τῷ τούτου ἀδιακόπῳ κλαυθμῷ λέγει πρὸς αὐτόν· λίαν τῷ ὄντι ἀναιδὴς καὶ ἀκόρεστος πέφυκας καὶ οὐκ ἔνεστί σοι φρόνησις, ὡς ὁρῶ, τὸ παράπαν· εἰ γὰρ τὸ τοιοῦτον ἔδεσμα πέντε ἀνδράσι παρετέθη, δαψιλῶς ἂν αὐτοῖς εἰς κόρον διήρκεσεν. ὁ δὲ παῖς ὑπολαβὼν λέγει τῷ

RETRACTATIO.

πρός μῖξιν λέγει αὐτῷ· ὀλίγον μοι ἀκαρτέρησον, ἄνθρωπε, ἕως οὗ τῷ παιδαρίῳ ἀναπαύσω. ὁ δὲ λέγει τῇ γυναικί· κατὰ τὸ παρὸν τὴν τοῦ παιδός σου φροντίδα ἔασον καὶ τὰ τῆς ἐπιθυμίας μου πλήρωσον, μήπως ἀργήσω. ἡ δὲ ἀντέφησεν· ἐὰν ἐγίνωσκες, ὦ ἄνθρωπε, τὴν γνῶσιν τούτου μου τοῦ παιδὸς, οὐκ ἄν μοι τοιαῦτα ἔλεγες ῥήματα. καὶ ταῦτα εἰποῦσα, διὰ συντόμως ἐγείρεται καὶ ὀρύζιον ἑψήσασα τῷ παιδὶ παρέθηκεν. ὁ δὲ παῖς εἰ καὶ πολλὰ μικρὸς οὐκ ἦτον, ἀλλ' οὖν ὑπῆρχε κλαίων καὶ τὴν μητέρα ἠνάγκαζε παραθεῖναι αὐτῷ πλεῖον ὀρύζιον. ἔλεγε γὰρ ὅτι· ἀκμὴν οὐκ ἐχόρτασα, ἀλλ' ὀρέγομαι περισσότερον. καὶ ἡ μήτηρ ἐποίησε τὸ θέλημα τοῦ παιδίου. ὁ δὲ παῖς πάλιν θέλων καὶ ἕτερον παράθεμα πρὸς τὴν μητέρα ἐθρήνει. ὁ μέντοι ἀκόλαστος ἐκεῖνος λυπούμενος ἐπὶ τῇ τοῦ παιδὸς ἀνάγκῃ καὶ τῷ κλαυθμῷ, λέγει πρὸς αὐτόν· πολλὰ
p. 117 ἦσαι, ὦ παῖ, ἀναίσχυντος καὶ ἀχόρ|ταστος καί, ὡς ὁρῶ, γνῶσιν ὅλως οὐκ ἔχεις· εἰ γὰρ τὸ τοιοῦτον ἕψημα παρετίθετο πέντε ἀνδράσι, καὶ ἀρκετὸν ἦν αὐτοῖς ὥστε κορέσαι. ὁ δὲ παῖς αὐτῷ εἶπεν· ἐκεῖνος μᾶλλον ἐστέρηται φρονήσεως, ὅστις ἑαυτῷ ἐπιζητεῖ, κα-

---

4 δὴ] δὲ B 5 γένοιτό με χρονίσαι ὧδε C ib. χρόνησις B ib. ἤδης A, ἴδη B 6 ἀγχινοίαν B ib. ἐλάιγες A 7 εὐθέως ἐγείρεται C ib. ὀρήζιον A, infra 10 ὀρίζιον 8 παρέθηκε τῷ παιδί C ib. παῖς om. C ib. ἦν om. B 9 ἠνάγκαζεν B ib. περὶσότερον A, περισότερον B ib. φησὶ B 11 ἐποίησεν B 12 ἀφιέμενος B ib. ὀλοφύρετο B 13 ἀσελγείᾳ] σιβήα A βία B ib. ἀδιακόπτῳ CB 14 οὐκένετί A 15 ἀνδρᾶσι B 16 sq. λέγι τῶ ἀνδρί: Ἐκεῖνος μᾶλλον A, λέγει τῶ ἀνδρὶ ἐκεῖνος μᾶλλον B, ἔφη | σύ μᾶλλον C. «Der Knabe erwiederte ihm: Du bist der unverständige, denn du bist ausgegangen, zu nehmen, was nicht dein ist und hast eine That erwählt, die Gott nicht wohlgefällig ist» Syrus Bäthgeni 17 τὸ παιδάριον Ebh., addens: «sed factum esse poterat etiam ut exciderit τὴν ὄρεξιν, τὴν πεῖναν, τὸν λιμόν» 21 συντόμων Boiss., cf. p. 59,24 ib. et 23 ὀρύζιον D 23 ἐχόρτανα Ebh.

ἀνδρί· ἐκεῖνος μᾶλλον πάσης ἀπεστέρηται φρονήσεως, ὅς τὸ παρὰ σοῦ νυνὶ ζητούμενον καὶ ἐμῇ μητρὶ ἀπρεπῶς λεγόμενον ἑαυτῷ ἐπιζητεῖ καὶ πρᾶξιν μεταδιώκει θεῷ μεμισημένην· ἐν ἐμοὶ δὲ τί ὁρᾷς φρονήσεως ἐστερημένον; ἀλλὰ καὶ ἀπὸ τοῦδέ μου τοῦ κλαυθμοῦ, | ὅπερ ἀναίδειαν ἀποκαλεῖς, τίνα ὅλως ζημίαν ὑφίσταμαι; A f. 284 μᾶλλον μὲν οὖν καὶ οἱ ὀφθαλμοί μου τοῖς δάκρυσι καθαρθέντες ἐπὶ πλεῖον διεφωτίσθησαν, καὶ οἱ μυκτῆρές μου τῆς ἐν αὐτοῖς ἀκαθαρσίας ἀπεσμήχησαν, καὶ τὸ παρατεθέν μοι ἔδεσμα προσετέθη μοι, καὶ διὰ τούτου τοῦ κλαυθμοῦ, εἴ τι δὴ καὶ ἤθελον, ῥᾳδίως μοι προσεγένετο. τούτων ὁ ἀνὴρ ἐκεῖνος τῶν συνετῶν ῥημάτων παρὰ τοῦ παιδὸς ἀκηκοὼς συνῆκεν ὡς ὁ παῖς ὑπέρκειται μᾶλλον αὐτοῦ τῇ ἰδίᾳ φρονήσει, καὶ αὐτίκα ἀναστὰς καὶ σχηματίσας τὰς χεῖρας προσεκύνησε τὸν παῖδα καὶ φησὶν πρὸς αὐτόν· μὴ μέμψῃ μοι, ἀξιῶ, περὶ ὧν | σοι B f. 99 τανῦν ἀπεφθεγξάμην· οὐ γὰρ ᾔδειν ὡς τοιαύτην ἐκέκτησο φρόνησιν. καὶ τοῦτο εἰπὼν εὐθὺς ἐκεῖθεν ὑπανεχώρησε μηδὲν ἄτοπον ἐπὶ τῇ αὐτοῦ μητρὶ ἐργασάμενος.

Ἄκουσον οὖν, ὦ δέσποτα βασιλεῦ, καὶ τῆς περὶ τοῦ πενταετοῦς παιδὸς

RETRACTATIO.

θάπερ σὺ νῦν τῇ ἐμῇ μητρί· λέγεις γὰρ ἀπρεπῶς καὶ ἐπιζητεῖς καὶ πρᾶξιν μεταδιώκεις ἣν ὁ θεὸς μεμισημένην ἔχει καὶ βδελύττεται. ἐν ἐμοὶ δὲ τί ὁρᾷς φρονήσεως ἐστερημένον; ἀλλὰ καὶ ἀπὸ τοῦδέ μου τοῦ κλαυθμοῦ, ὅπερ ἀναισχυντίαν καλεῖς, τίνα ὅλως νομίζεις ζημίαν πανθάνειν με; μᾶλλον μὲν καὶ οἱ ὀφθαλμοί μου διὰ τῶν δακρύων καθαρθέντες ἐπὶ πλεῖον διεφωτίσθησαν, καὶ οἱ μυκτῆρές μου τῆς ἐν αὐτοῖς ἀκαθαρσίας ἐκαθαρίσθησαν, καὶ τὸ παρατιθέν μοι ἑψητὸν πρὸς τροφὴν διὰ τοῦ κλαυθμοῦ μου, εἴ τι καὶ ἤθελον, εὐκόλως μοι ἦλθε. τούτων τῶν λόγων τοῦ παιδὸς ἀκούσας ὁ ἀνὴρ ἐνόησεν ὡς τὸ παιδίον μεῖζόν ἐστι τῇ γνώσει ἢ αὐτός, καὶ ἀναστὰς αὐτίκα | προσεκύνησεν p. 118 αὐτὸ εἰπὼν πρὸς αὐτό· ἀξιῶ, μὴ κατηγορήσῃς με περὶ ὧν ἐλάλησα πρός σε· οὐ γὰρ ἐγίνωσκον ὅτι τοιαύτην ἔχεις τὴν φρόνησιν. καὶ ταῦτα εἰπὼν ἀπῆλθε μηδὲν ἀπρεπὲς ἐπὶ τῇ μητρὶ αὐτοῦ ἐργασάμενος.

Ἄκουσον, ὦ βασιλεῦ, καὶ περὶ τοῦ πενταετοῦς παιδὸς τῆς διηγήσεως. Ἄνδρες

---

1 ἀπεστέρηται B, ἀπέστηται A, ἀπεστέρησαι C ib. ὅς A, ὡς C ib. σου A, σοὶ B ib. νῦν C 2 ἐμοὶ A, τῇ ἐμῇ B ib. σεαυτὸν C ib. ἐπιζητεῖ A, ἐπιζήτει B ib. πραξην A, πράξεσιν B 3 τί καθορᾷς CB 4 κλαυμοῦ B ib. ἀποκαλεῖς] σὺ καλεῖς C ib. ζημίαν ὅλως C 5 οὖν om. B 6 sq. ἀπεσμήχθησαν? Ebh. 7 παρατϊθέν B ib. πρόσετέθη A, πρόσέσθη B ib. διὰ τούτου τοῦ B δι ἀτοῦ τοῦ A, δι' αὐτοῦ τοῦ C 8 δὴ] ἄρα C 9 παρὰ τοῦ παιδὸς post ἀκηκοὼς collocat B, om. C 9 sq. ὁ παῖς οὗτος αὐτοῦ μᾶλλον ὑπέρκειται τῇ φρονήσει C 10 αὐτίκα] ὃς C 10 sq. ἄμφω τὼ χεῖρε, τῷ παιδὶ προσεκύνησε καὶ φησί (om. πρὸς αὐτόν) C 11 μέμψῃ μοι] μέμψοι A 12 τανῦν om. C 13 ὑπανεχώρησεν μηδένα B 15 οὖν] τοίνυν C ib. καὶ om. B ib. πεταέτους A pr., corr. πεταέτους

16 γὰρ et καὶ ἐπιζητεῖς deleri volebat Ebh. sublata post μητρί distinctione 19 post μὲν Ebh. ex C add. οὖν 20 αὐτῆς F 21 παρατεθὲν Ebh. perperam 23 ἐννόησεν F 27 lemma: περὶ τοῦ πενταετοῦς παιδὸς ib. post Ἄκουσον Ebh. ins. δέ

διηγήσεως. Ἄνδρες τινὲς ὑπῆρχον ἔμποροι τὸν ἀριθμὸν τρεῖς, οἵ καὶ ἀλλήλων κοινωνοὶ ἐτύγχανον, καὶ ἐπί τινα μακρὰν χώραν δι' ἐμπορίαν ἐστέλλοντο. τῆς δέ γε ὁδοιπορίας ἐχόμενοι εἴς τινα κώμην καταλαμβάνουσιν, ἐν ᾗ καὶ παρά τινι γραΐδι τὴν κατάλυσιν ἔθεντο. μετὰ δὲ ταῦτα ἔδοξεν αὐτοῖς ἐπὶ τὸ βαλανεῖον ἀπελθεῖν καὶ ἀπολούσασθαι, καὶ λέγουσι πρὸς τὴν γραΐδα· ἑτοίμασον ἡμῖν, ὦ γύναι, τὰ πρὸς τὸ βαλανεῖον χρειώδη σκεύη καὶ ἐπιβλήματα. ἡ δὲ πάντα αὐτοῖς παρητοίμασε, μόνου δὲ τοῦ κτενὸς ἐπελάθετο. εἶτα ἐκεῖνοι ἐκβαλόντες ἅπερ ἐφέροντο χρυσίου τρία βαλάντια, ὧν ἔνδοθεν τὸν ἑαυτῶν κοινὸν θησαυρὸν ἐκέκτηντο, τῇ γραΐδι παραδεδώκασι, καὶ διενετείλαντο αὐτῇ λέγοντες· λαβοῦσα, ὦ γύναι, ταυτὶ τὰ τρία τοῦ χρυσίου βαλάντια παρὰ σεαυτῇ φύλαττε, καὶ μὴ πρός τινα ἡμῶν ἐπιδώσῃς τι τούτων, ἄχρις ὅτου ἡμᾶς γε τοὺς τρεῖς ὁμοθυμαδὸν πρὸς σὲ παραγεγονότας θεάσῃ. ταῦτα τῇ γραΐδι παραγγείλαντες ἐπὶ τὸ βαλανεῖον ἐπορεύθησαν. ἰδόντες δὲ ὡς κτένιον οὐκ ἐπεφέροντο, στέλλουσι θάτερον αὐτῶν πρὸς τὴν γραΐδα ἐκείνην τοῦ ἀγαγεῖν κτένιον. ὁ δέ γε σταλεὶς ἐλθὼν πρὸς αὐ-

RETRACTATIO.

πραγματευταὶ ὑπῆρχον τρεῖς, οἵτινες καὶ πρὸς ἀλλήλους εἶχον συντροφίαν, καὶ ἀπῆλθον εἰς χώραν τινὰ διὰ πραγματείαν. τῆς ὁδοιπορίας οὖν ἀρξάμενοι κατῆλθον εἰς χωρίον, ὥστε ἐν αὐτῷ μεῖναι, εὑρόντες οἰκίαν γραΐδος τινός. μετὰ δὲ τὸ ἀναπαύσασθαι αὐτούς, ἔδοξεν ἀπελθεῖν εἰς βαλανεῖον καὶ λουθῆναι, καὶ λέγουσι τῇ γραΐδι· ἑτοίμασον ἡμῖν, ὦ γύναι, τὰ πρὸς τὸ λοετρὸν χρειώδη σκεύη τε καὶ ἱμάτια. μόνου δὲ τοῦ κτενὸς ἐπελάθετο. εἶτα οἱ πραγματευταὶ βαλόντες ἅπερ εἶχον χρυσᾶ καὶ ἄργυρον εἰς
p. 119 βαλάντια τρία, δεδώκασι τῇ γραΐδι εἰπόντες | αὐτῇ· ὦ γύναι, λάβε ταῦτα τὰ τρία βαλάντια τοῦ χρυσοῦ καὶ φύλαττε καλῶς ἐν ἑαυτῇ, καὶ μηδὲν ἀπὸ τούτων δώσῃς τινὶ ἀφ' ἡμῶν, εἰ μὴ νὰ ἴδῃς καὶ τοὺς τρεῖς ἡμᾶς. ταῦτα εἰπόντες ἀπῆλθον εἰς τὸ βαλανεῖον. καὶ ἐν τῇ ὁδῷ ἰδόντες ὅτι κτένιον οὐ κρατοῦσι, στέλλουσιν ἕνα ἀπ' αὐτοὺς πρὸς τὴν γραῖαν τοῦ λαβεῖν τὸ κτένιον. ὁ δὲ πεμφθεὶς εἰς τὴν γραῦν λέγει αὐτήν· οἱ

---

1 ὑπῆρχόν τινες C ib. ἔμποροι τὸν ἀρηθμῶν A, ἐμποροὶ τῶν ἀριθμῶν B, om. C 1 sq. ἀλλήλοις ἐτύγχανον κοινωνοί· ἐπί τινα δὲ δι' ἐμπορείαν χώραν μακρὰν ἐστάλησαν C 2 διεμπορήαν ἐτέλλοντο A 3 καταλαμβάνουσι B, εἰσέρχονται C qui deinde omittit ἐν ᾗ 5 λέγουσιν B ib. τῇ γραΐδι (om. πρὸς) C 6 πρὸς τὸ βαλανεῖον om. C ib. χρηώδη A, χριῶδες B 7 παρητοίμασεν B, ἡτοιμάσατο C, ita pergens: μόνου τοῦ κτενός δ' ἐπελάθετο· ἐκεῖνοι δὲ ἐκβαλόντες ἅτινα ib. ἐκβαλοντες A, ἐκβαλόντες (λ) B 8 ἐπεφέροντο CB ib. τὸν ἑαυτῶν A, τὸν ἑαυτον B, αὐτῶν τὸν C 8 sq. ἐκέκτητο A, εἶχον C 9 διἐνετείλαντο B, διἐνετείλατο A, ἐνετείλαντο C 9—11 λέγοντες—τι] φυλάττειν αὐτά παρ' ἑαυτῇ. καὶ μὴ δώσειν πρός τινα τί C 10 ταυτὶ τα A, ταῦτα τὰ B 11 ἡμᾶς γε om. C ib. ὁμοθυμαδῶν AB, ὁμοῦ C 12 γεγονότας CB ib. θεάσῃ A, θεάσει B, θεάσαιο C 12 διπαραγγείλαντες B 13 ἐπορεύθησαν—ἐπεφέροντο] ἀπήεσαν· καὶ εἰσελθόντες ἐπεὶ κτένιον ἔχειν οὐκ εἶδον C 14 πρὸς τὴν—ἀγαγεῖν] τῇ γραΐδι τοῦ κομίσαι τὸ C ib. ἐκείνην B, ἐκεῖνη A 14 sq. ὁ δὲ σταλεις εἶπεν αὐτῇ· C

17 ἐν αὐτῷ om. D 19 μόνον E 20 ἐπελάθοντο EF, sed probabiliter iam Ebh. suspicatus est «ante μόνου enuntiatum quale est in C (ἡ δὲ πάντα αὐτοῖς ἡτοιμάσατο) praetermissum esse», nisi quod veri similius est metaphrastam παρητοίμασεν posuisse cum B 20 χρυσὰ F. Ebh. pro χρυσᾶ καὶ ἄργυρον scripsit χρυσίον καὶ ἀργύριον 23 ἵνα ἴδῃς D 24 κτένιν D

τὴν ἔφη· οἱ κοινωνοί μου δι' ἐμοῦ δηλοῦσι, ὦ γύναι, λέγοντες· στεῖλον ἡμῖν τὸ παρατεθέν σοι χρυσίον πα|ρ' ἡμῶν. ἡ δὲ λέγει τῷ ἀνδρί· οὐδαμῶς σοί τι ἐπιδώσω, ἄχρις ἂν οἱ τρεῖς πρός με ἐπὶ τὸ αὐτὸ παραγένησθε. ὁ δὲ λέγει τῇ γυναικί· ἰδοὺ κατ' ὄψιν τὴν σὴν οἱ κοινωνοί μου, ὡς ὁρᾷς, ἑστήκασιν, εἰ καὶ πρὸς μακράν σου ἀπέχουσι· κἀκεῖνοί σοι λέγουσι τὸ χρυσίον δεδωκέναι μοι. ταῦτα εἰπὼν φωνεῖ πρὸς ἐκείνους περὶ τοῦ κτενὸς αὐτοῖς ἀνωνύμως καὶ ἀδήλως οὑτωσὶ λέγων· οὐδέν μοι ἡ γραῦς παρέχει, εἰ μὴ ὑμεῖς αὐτοὶ ἐπιτρέψοιτε. οἱ δὲ ἐφώνησαν πρὸς αὐτὴν λέγοντες· πάρασχε, γύναι, αὐτῷ. ἡ δὲ εὐθὺς ἐκβαλοῦσα τὸ παρατεθὲν αὐτῇ χρυσίον ἐπιδέδωκεν αὐτῷ. ἐκεῖνος δὲ τοῦτο εἰληφὼς εὐθὺς ἐκεῖθεν ἀπέδρα. οἱ δέ γε τούτου κοινωνοὶ ἐπὶ πολὺ αὐτὸν διετέλουν προσμένοντες, εἶτα φωνοῦσι πρὸς τὴν γραΐδα· ποῦ ἐστιν ὁ πρὸς σὲ σταλεὶς κοινωνὸς ἡμῶν, ὅτι μὴ ὅλως ἡμῖν ἀναφαίνεται; ἡ δὲ γραῦς ἔφησε τοῖς ἀνδράσιν ὡς· τὸν θησαυρὸν ὑμῶν A f. 285

RETRACTATIO.

σύντροφοί μου μηνοῦσί σε δι' ἐμοῦ· πέμψον ἡμῖν τὸ χρυσίον τό σε ἐδώκαμεν. ἡ δὲ γυνὴ λέγει τῷ ἀνδρί· οὐδαμῶς δώσω σοι, ἕως οὗ ἔλθετε καὶ οἱ τρεῖς ὁμοῦ. καὶ ὁ ἀνήρ, ἰδού, λέγει, οἱ σύντροφοί μου μακρόθεν κατ' ὄψιν σου ἵστανται· καὶ ἐκεῖνοι λέγουσί σοι δοῦναί μοι τὸ χρυσίον. καὶ ταῦτα εἰπὼν τῇ γραΐδι στρέφεται πρὸς τοὺς συντρόφους αὐτοῦ καὶ λέγει αὐτοῖς ἀνωνύμως· οὐ δίδει μοι ἡ γραῦς, μήτε κτένιον εἰπὼν μήτε χρυσίον. ἐκεῖνοι δὲ νομίσαντες τὸ κτένιον ζητεῖν αὐτὸν λέγουσι τῇ γραΐδι μετὰ νεύματος· δός, γύναι, αὐτό. | ἡ δὲ ἐκβαλοῦσα τὸ χρυσίον δέδωκεν αὐτῷ. ὁ δὲ τοῦτο λαβὼν εὐθέως ἀπ' ἐκεῖσε ἔφυγεν. οἱ δὲ σύντροφοι αὐτοῦ περιμένοντες αὐτόν, οὐκ ἦλθε· καὶ μεγάλῃ φωνῇ λέγουσι τῇ γραΐδι· ποῦ ἐστιν ὁ σύντροφος ἡμῶν, ὃν ἀπεστείλαμεν εἰς σέ, καὶ οὐδ' ὅλως εἰς ἡμᾶς ἀνεφάνη; ἡ δὲ γραῦς εἶπε τοῖς ἀνθρώποις ἐκείνοις ὡς· τὸν p. 120

---

1 δι' ἐμοῦ om. B ib. δηλοῦσιν B, σοι δηλοῦσιν C, σοι δηλοῦσιν Ebh. ib. λέγοντες om. C 2 παρ' ἡμῶν σοι παρατεθὲν χρυσίον C. B cum A consentit nisi quod σοι omittit ib. τῷ ἀνδρί] αὐτῷ C 2 sq. σοι δώσω τί· ἄχρις ἂν οἱ τρεῖς ὁμοῦ γένοισθε C 3 τῶ αὐτὸ A, τῶ αὐτῶ B ib. παραγίνεσθαι B 3—5 τῇ γυναικί — μοι] αὐτῇ· κατ' ὄψιν ἰδού σοι ἑστήκασιν ὡς ὁρᾷς οἱ κοινωνοί μου καὶ φωνοῦσι σοι πόρρωθεν δοῦναι μοι τὸ τοιοῦτον χρυσίον C 4 ἐστείλασιν B 5 ἀπέχουσιν B 7 αὐτῇ CB ib. ἐπιτρέψιτε (=ἐπιτρέψητε?) A, ἐπιτρέψοιτε C, ἐπιτρέψεται B, qua in scriptura aut ἐπιτρέψαιτε latet (Eberhardi coniectura), aut ἐπιτρέψετε 8 πάραχε A ib. ὦ γύναι C ib. εὐθὺς om. C 9 ἐπέδωκεν C ib. εὐθέως C 10—88,2 οἱ— αὐτῷ] «Seine Genossen warteten nun, dass er kommen sollte; aber er kam nicht. Die Alte jedoch kam zu ihnen und sprach: «Euer Freund ist gekommen, und ich habe ihm das Geld gegeben, denn ihr habt mir ja selbst gesagt: giebs ihm» Syrus Bäthgeni 10 οἱ δὲ κοινωνοί τούτου C ib. ἐπιπολύ C ἐπιπολλὺ B ἐπὶ πωλλὴ A ib. αὐτῶ B ib. in marg. κα C 11 φωνοῦσιν B ib. κοινωνός] ἐκεῖνος κοινωνός C 11 sq. μηδ' ὅλως? Ebh. 12 ἀναφένεται B ἀνεφάνη C ib. ἔφησεν B ἔφη C ib. ἀνδρᾶσι B ib. ἡμῶν B

13 «variant codices (etiam F teste Ebh.) in accentus sede, σύντροφοι et συντρόφοι exhibentes» Boiss. ib. μηνύουσι coniecit Boiss. 14 ἔλθητε? Ebh. 18 μὴ κτένιον F 19 αὐτό] «malim αὐτῷ, quod est in C. cf. 88,15. sed fortasse dixisse illi finguntur αὐτό, intellexisse illa αὐτῷ, i. e. *illi etiam soli*» Ebh. ib αὐτῷ] αὐτὸ EF 22 ib. ἐφάνη EF

παρ' ἐμοῦ ἐπεζήτησε, καὶ κατὰ τὴν ὑμῶν προσφώνησίν τε καὶ προτροπὴν παραδέδωκα τοῦτον αὐτῷ, καὶ λαβὼν ὑπεχώρησε τῆς οἰκίας μου. οἱ δὲ ἀντεῖπον τῇ γυναικί· ἡμεῖς κτένιον αὐτὸν ἀγαγεῖν ἡμῖν πρὸς σὲ ἀπεστάλκαμεν. ἡ δὲ
B f. 100 γραῦς, ἀλλ' ἐκεῖνος, | φησί, τὸ χρυσίον ὑμῶν ἐξ ἐμοῦ ἐπεζήτησεν ὡς ἀφ' ὑμετέρας προτροπῆς, κἀγὼ δὴ ἐσύστερον δοῦναι αὐτῷ ὑμῶν προτρεψάντων με ἐκβαλοῦσα τοῦτο πρὸς αὐτὸν ἐπιδέδωκα. ταῦτα οἱ ἔμποροι παρὰ τῆς γυναικὸς ἀπροσδοκήτως ἐνωτισθέντες καὶ πικρᾷ τῇ ἀθυμίᾳ συσχεθέντες, λαβόντες εὐθὺς τὴν γραΐδα ἀνάρπαστον πρὸς τὸν τῆς χώρας πορεύονται ἄρχοντα καὶ αὐτῷ τὰ τοῦ πράγματος περιπαθῶς ἐκτραγῳδοῦσιν. ὁ δὲ ἄρχων ἔφη τῇ γυναικί· ἀπόδος τοῖς ἀνδράσι τὸ παρατεθέν σοι παρ' αὐτῶν χρυσίον. ἡ δὲ γραῦς τῷ ἄρχοντι ἀπεκρίνατο· ἐγώ, κύριέ μου, ἀποδέδωκα αὐτοῖς τὸν θησαυρὸν αὐτῶν. οἱ δὲ ἔμποροι πρὸς τὸν τοιοῦτον αὐτῆς ἀπόλογον ἀνθυπέφερον· ἡμεῖς, ὦ δικαστά, τρεῖς τυγχά-

RETRACTATIO.

θησαυρὸν παρ' ἐμοῦ λαβὼν κατὰ τὴν ἰδικήν σας φωνὴν καὶ τὸν λόγον, διέβην ἀπὸ τὸ ὀσπίτι μου· ἐμοῦ γὰρ τὸ χρυσίον αὐτῷ μὴ διδούσης ὑμεῖς προσεφωνήσατέ μοι· δὸς αὐτῷ τὸ ζητούμενον παρ' αὐτοῦ. καὶ ἐγὼ κατὰ τὸν λόγον ὑμῶν δέδωκα τὸ βαλάντιον. οἱ δὲ ἀντεῖπον τῇ γυναικί· ἡμεῖς τοῦ λαβεῖν ἀπὸ σοῦ κτένιον ἐπέμψαμεν. ἡ δὲ γραῦς, οὐ κτένιον ἐζήτει, φησίν, ἀλλὰ τὸ χρυσίον ὑμῶν ἀπ' ἐμοῦ ἐζήτησεν ὡς ἀπὸ ἰδικοῦ σας θελήματος· ἐμοῦ δὲ μὴ πιστευσάσης ἐκεῖνον ἀληθῆ λέγειν, ὑμεῖς διὰ νεύ-
p. 121 ματος προετρέψασθέ με ὕστερον δοῦναι αὐτῷ, κἀγὼ ἐκβαλοῦσα δέδωκα. ταῦτα | οἱ πραγματευταὶ παρὰ τῆς γυναικὸς ἀνελπίστως ἀκούσαντες καὶ πικρῶς τῇ λύπῃ κρατηθέντες, λαβόντες εὐθὺς ἀνάρπαστον τὴν γραΐδα πορεύονται πρὸς τὸν τῆς χώρας ἐκείνης ἄρχοντα καὶ αὐτῷ τὰ τοῦ πράγματος διηγοῦνται μετὰ λύπης. ὁ δὲ ἄρχων ἔφη τῇ γυναικί· δὸς τοῖς ἀνθρώποις τὸ χρυσίον, ὅπερ σοι ἐναπέθεντο. ἡ δὲ γυνή· αὐθέντη, ἐγὼ τὸ χρυσίον αὐτοῖς δέδωκα. οἱ δὲ ἄνθρωποι ἀντέλεγον πάντῃ πρὸς τὸν λόγον τῆς γυναικὸς ἀληθῆ εἶναι δοκοῦντα. οἱ δὲ λέγουσι τῷ ἄρχοντι· ἡμεῖς, ὦ κύριε, οἱ τρεῖς ὑπάρχοντες, ὅτε τὸν θησαυρὸν ἐνεθέμεθα, τοιαύτην αὐτῇ παραγγελίαν δεδώ-

---

1 ὑμῶν A, ἡμῶν B, ὑμετέραν C 2 καὶ] ὃν καὶ C ib. καὶ—μου om. Syrus ib. ἀντεῖπεν B 3 ἡμεῖς — ἀπεστάλκαμεν] «Wir haben gesagt, er sollte den Kamm bringen.» ib. κτένιον Jernstedt, κατεναντίον ACB ib. ἀγαγεῖν — ἀπεστάλκαμεν] ἡμῶν ἀπεστάλκαμεν πρὸς σὲ ζητῆσαι τὸ κτένιον C 4—6 ἀλλ' ἐκεῖνος — ἐπιδέδωκα] «Er hat aber das Geld von mir verlangt» erwiderte die Alte» reliquis omissis Syrus 5 δὲ CB ib. ἐσύστερον—με] παρ' ὑμῶν ὡς ἐφώνησε προτραπεῖσα δοῦναι αὐτῷ καθὼς ἔφητε C 6 τοῦτο om. B ib. ἐπιδέδωκα πρὸς αὐτόν C 6 sq. παρὰ—ἀπροσδοκήτως] ἀπροσδοκήτως παρὰ τῆς γυναικός C 7 πικρᾷ τῇ] πικρῶς C ib. ἀθυμίᾳ] ἀ . . . θ 3 vel 4 erasis litteris, quarum prior ρ sive μ sive ν fuit A 7 sq. συσχεθέντες — ἀνάρπαστον] βαρείᾳ κατασχεθέντες ταύτην ἀνάρπαστον ἀναλαβόντες C 8 ἐνάρπαστον B ib. τὸν etiam C 9 ἐκτραγῳδοῦσι περιπαθῶς C 9 sq. τοῖς ἀνδράσι] αὐτοῖς C 10 sq. τῷ ἄρχοντι ἀπεκρίνατο] ἀπεκρίνατο αὐτῷ C 11 ἀπέδωκα C δέδωκα B ib. δ' ἔμποροι CB 11 sq. οἱ δὲ — ἀνθυπέφερον] «Darauf huben jene Beide an» Syrus 12 τοιοῦτον—ἀπόλογον] ἀντίλογον αὐτῆς C

14 «ὀσπήτι F, l. η, ut videtur, mutata in ι» Ebh. ὀσπίτι (DE) Boiss. 23 ἔφη] φησὶ (DE) 24 αὐθέντη] ἤνατι D

νοντες κοινωνοί, ὅτε ταύτῃ τῇ γραΐδι τὰ ἡμέτερα χρήματα παρεθέμεθα, εὐθὺς σὺν ἀκριβείᾳ ἐνετειλάμεθα εἰπόντες ὡς· μηδαμῶς τῶν σῶν χειρῶν, ὦ γύναι, ἡ τοιαύτη ἡμῶν ἐκβληθείη παρακαταθήκη, εἰ μή τι γε ἡμᾶς | τοὺς τρεῖς ἐπὶ τὸ A f. 286 αὐτὸ θεάσῃ ταύτην ἀπὸ σοῦ ἐπιζητοῦντας. ὁ δὲ ἄρχων πάλιν πρὸς τὴν γραΐδα φησίν· ἀπόδος τὸ χρυσίον τοῖς ἐμπόροις, ὦ γύναι, καὶ μηδὲν μηκέτι πρὸς ταῦτα ἀμφίβαλλε. ἡ δὲ γραῦς ἐξῆλθεν ἐκ προσώπου τοῦ ἄρχοντος πικρῶς ὀδυρομένη καὶ γοερὸν ἀλαλάζουσα. μετὰ μικρὸν δὲ παῖς τις ἐτῶν πέντε τυγχάνων τῇ γυναικὶ θρηνῳδούσῃ συναντᾷ, καὶ ταύτην κατοικτείρας τῆς πικροτάτης οἰμωγῆς λέγει πρὸς αὐτήν· τί οὕτως οἰκτρῶς, ὦ γύναι, ὀλοφύρῃ; ἡ δὲ τῷ παιδὶ ἔφησεν· ἔασόν με, παῖ, τὴν τάλαιναν ἀποδύρεσθαί μου τὴν συμφοράν. ὁ δὲ παῖς ἐνέκειτο ἐκβιάζων αὐτὴν καὶ τὴν αἰτίαν τοῦ ὀδυρμοῦ πυνθανόμενος, καὶ οὐ πρότερον αὐτῆς ἀπέστη, ἄχρις οὗ πάντα ἐκείνη αὐτῷ ὡς ἔχοι τὰ τοῦ πάθους διεσάφησεν. ὁ δὲ εὐθὺς ὑπολαβὼν τῇ γραΐδι ἔφησεν· ἔγωγε τῆσδε τῆς κατεχούσης σε συμφορᾶς

RETRACTATIO.

καμεν, ὡς μηδένα ἀφ' ἡμῶν διδόναι ποτέ, εἰ μὴ καὶ τοὺς τρεῖς ἡμᾶς αὐτοψεὶ θεάσηται τὴν παρακαταθήκην ζητοῦντας. ὁ δὲ ἄρχων πάλιν τῇ γυναικὶ φησίν· ἀπόδος τοῖς ἀνθρώποις τὸ χρυσίον, ὦ γύναι, καὶ μηδαμῶς ἔχεις ἄλλον τινὰ λογισμὸν περὶ τούτου. τότε ἡ γραῦς μετὰ δακρύων ἀπῆλθεν ἐκ προσώπου τοῦ ἄρχοντος | μετὰ p. 122 κλαυθμοῦ πικρῶς ἀλαλάζουσα. ταύτης οὖν ἀπερχομένης καὶ ὀδυρομένης, συναντᾷ ταύτῃ παιδίον χρόνων πέντε ὑπάρχον. καὶ τὸ παιδίον αὐτὴν ὁρῶν κλαίουσαν μετ' ὀδύνης πολλῆς, ἠλέησε τῆς πικροτάτης οἰμωγῆς. καὶ λέγει πρὸς τὴν γυναῖκα τὸ παιδίον· τί οὕτως, ὦ γύναι, κλαίεις ἐλεεινῶς; ἡ δὲ εἶπεν· ἄφες μοι, τέκνον, τὴν ἀθλίαν, τοῦ κλαίειν με ἀθλίως τὴν ἐμὴν πενίαν καὶ συμφοράν. τὸ δὲ παιδίον ἐπὶ πλέον ἵστατο ἀναγκάζον αὐτὴν καὶ τὴν αἰτίαν τῆς λύπης αὐτῆς ἠρώτα ἐπιμόνως, καὶ οὐ πρότερον ἀφῆκεν αὐτὴν ὁ παῖς, ἄχρις οὗ τὰ τοῦ πράγματος ὡς ἐγένοντο κατὰ μέρος ἡ γυνὴ τῷ παιδαρίῳ διεσάφησεν. ὁ δὲ παῖς ἀκούσας κατὰ μέρος, τῇ γραίᾳ διηρμήνευσεν εἰπών· ἐγὼ τῆς κρατούσης σε συμφορᾶς ἐλευθερώσω / καὶ ἐὰν θέλῃς ἵνα σοι ποιήσω

---

1 ταύτῃ om. C ib. εἰμέτερα A 1 sq. εὐθὺς σὺν ἀκριβείᾳ] σὺν ἀσφαλείᾳ εὐθύς αὐτῇ C 2 μηδαμῶς γε C ib. χειρῶν] in C pro χει prius fuit ω scriptum, quod ita correctum est ut nunc χωρῶν legi videatur 3 ἐκβληθήτω παραθήκη C ib. τοὺς om. B 3 sq. μή τι— θεάσῃ (θεᾶσι A)] μήτοι γε τοὺς τρεῖς ἡμᾶς ὁμοῦ θεάσαιο C 4 ἀπὸ σοῦ ἐπιζητοῦντας] ἐπιζητοῦντας λαβεῖν ἀπὸ σοῦ C 4 sq. πρὸς—φησίν (φησί B)] ἔφη πρὸς τὴν γραΐδα C 5 τὸ χρυσίον om. B ib. μῆδεν A 6 ἀμφοίβαλε A, ἀμφίβαλε B ib. ἐξῆλθεν ἐκ προσώπου] ἀπὸ προσώπου ἔξεισι C ib. πικρῶς ὀδηρομένη (ὀδυρωμένη B) AB, ὀδυρωμένη πικρῶς C 7 γοερῶς B ib. ἀλλαλαζουσα A 7—9 τῇ—αὐτήν] ἔφη τῇ γυναικί, συναντήσας αὐτῇ θρηνῳδούσῃ ἣν καὶ κατῴκτειρε τῆς πικρᾶς οἰμωγῆς C 9 ὀλοφύρῃ ὦ γύναι C ib. ἔφησε τῷ παιδί C 10 sq. ὁ δὲ παῖς, ἐνέκητο ἐκβηᾶζον A, ὁ δὲ, ἐπέκειτο βιάζων C 11 sq. ἀπέστη αὐτῆς C 12 ἐκείνη αὐτῷ ὡς ἔχοι (ἔχι A, ἔχει B) τὰ τοῦ πάθους] αὐτῷ ἡ γυνή C 12 sq. ὁ δὲ εὐθὺς ὑπολαβὼν τῇ γραΐδι ἔφησεν B, om. A, ὁ δὲ. ἄντεφη αὐτῇ C, «Dann sagte er» Syrus 13 ἔγωγε] ἐγώ σε C ib. τῆσδε om. CB ib. κατεχούσησε A, κατεχούσης (σε omisso) CB 13 sq. συμφορᾶς ἀπαλλάξω] ἀπαλλάξω νυνὶ συμφορᾶς C

16 ἔχῃς Boiss. 21 in marg. ὅρα τὴν τοῦ παιδὸς ἀγχίνοιαν (ἀγχίνιαν F) DEF ib. μοι] με Boiss. 22 ἀθλίας D 23 ἀναγκάζων F, ἀναγκάζων D 25 γραΐδι ἡρμήνευσεν D 26 σε om. D

ἀπαλλάξω. ἀλλ' εἰ βούλει τοῦτό σοι ποιῆσαί με, δός μοι πρότερον ἄργυρον ἕνα, ἵνα δι' αὐτοῦ κάρα μοι ἐξωνήσωμαι. ἡ δὲ γυνή, εἴπερ με, φησί, τῆς χαλεπῆς ταύτης συνοχῆς ἀπαλλάξεις, δώσω σοι τὸν ἄργυρον. ὁ δὲ παῖς ἀποκριθεὶς λέγει πρὸς αὐτήν· ὑπόστρεψον λοιπὸν πρὸς τὸν ἄρχοντα καὶ λέξον αὐτῷ οὕτως· γνωρίζω σοι, ὦ κύριέ μου, ὡς τρεῖς κοινωνοὶ ἐτύγχανον οἱ τὸ χρυσίον μοι παραθέμενοι, καθὰ δὴ καὶ προεδηλώθη σου τῇ ὑπεροχῇ, οἳ καὶ ἐνετείλαντό μοι λέγοντες· ὅρα μὴ δώσῃς τινὶ ἐξ ἡμῶν τὰ παρατεθέντα σοι χρήματα, εἰ μὴ οἱ τρεῖς ὁμοθυμαδὸν πρὸς σὲ παραγενώμεθα. νῦν δέ, κύριέ μου, ἰδοὺ τὸ χρυσίον παρ' ἐμοί ἐστιν· πρόσταξον τὸ λοιπὸν τοὺς τρεῖς κοινωνοὺς ἐπὶ τὸ αὐτὸ παραστῆναί μοι, καθὰ δὴ κἀκεῖνοι σὺν ἀκριβείᾳ παρηγγυήσαντο, καὶ εἰθούτως αὐτοῖς ὁ κοινὸς αὐτῶν θησαυρὸς παρ' ἐμοῦ ἀποδοθήσεται. ἐπὶ ταύταις τοίνυν ταῖς τοῦ παιδὸς ἐκείνου πιθαναῖς ὑποθήκαις σφόδρα ἡσθεῖσα B f. 101 ἡ γυνὴ εὐθὺς | ὑποστρέφει πρὸς τὸν ἡγεμόνα, καὶ τὰ παρ' ἐκείνου ὑποτεθέντα αὐτῇ ὡς εὐσύνοπτα καὶ συνετὰ πρὸς αὐτὸν ἀπεφθέγξατο. ὁ δὲ ἡγεμὼν εὐλογοφανῶς λέγειν διαγνοὺς τὴν γυναῖκα, μεταστέλλεται τοὺς ἐμπόρους καὶ φησὶ

RETRACTATIO.

ὅπερ λέγω, δός μοι ἀργύριον, ὅπως ἀγοράσω κάρυα. ἡ δὲ γυνὴ ἔφη· ἐὰν ταύτης ἐλευ- p. 123 θερώσῃς με τῆς συμφορᾶς καὶ ἀνελπίστου ζημίας, δώσω σοι τὸ ἀργύριον. | τότε λέγει ὁ παῖς τῇ γραΐδι· ὑπόστρεψον εἰς τὸν ἄρχοντα, τὸν ἡγεμόνα, καὶ εἰπὲ αὐτῷ οὕτως· γνωρίζω σοι, κύριέ μου, ὡς τρεῖς σύντροφοι ἦσαν οἱ δεδωκότες μοι τὸ ἀργύριον καὶ τὸ χρυσίον, παραγγείλαντές μοι μηδενὶ ἀπὸ τούτων τῶν τριῶν συντρόφων δοῦναι τὸ χρυσίον, εἰ μὴ καὶ οἱ τρεῖς παρῶσι. καὶ νῦν τὸ χρυσίον ἐστὶ παρ' ἐμοί· καὶ τὴν ἐνδοξότητά σου ἱκετεύω ἵνα ὁρίσῃς καὶ παραγίνωνται καὶ οἱ τρεῖς ὁμοῦ, καὶ οὕτως ἐγὼ αὐτοῖς τὸν συντροφικὸν θησαυρόν, ὃν ἔθηκαν εἰς ἐμέ, ἀποδώσω. λοιπὸν ἡ γυνὴ ἐπὶ ταύταις ταῖς τοῦ παιδὸς παραγγελίαις πολλὰ εὐφρανθεῖσα εὐθὺς εἰς τὸν ἡγεμόνα ὑπέστρεψε καὶ τὰ τοῦ παιδὸς ῥήματα ὀλίγα καὶ φρόνιμα ὄντα εἶπε τῷ ἡγεμόνι. ὁ δὲ ἰδὼν αὐτὴν εὐλόγως λέγουσαν καὶ δικαίως, διαμηνύσας τοὺς ἐμπόρους λέγει· δικαίως νῦν ἔγνωκα ὅτι ἡ γραῦς ὑμῖν ἀνθίσταται καὶ τὸν θησαυ-

---

1 βούλει—με] βούλοιο ποιῆσαι με τοῦτο C ib. πρότε A 2 κάρα A, κάραν C, κάρυά B, «Nüsse» Syrus ib. ἐξωνήσομε A ib. εἴπερ μοι φησὶ B, φησιν. εἴπερ με C 3 ἀπαλλάξῃς AB 4 ἀποκρηθὶσ, λέγι πρὸς αὐτ(ὴν) A, ἀποκριθεὶς λέγει B, λέγει αὐτῇ C ib. λοιπὸν AB, τοίνυν C 5 sq. κοινωνοὶ — προεδηλώθη] ἦσαν τυγχάνοντες οἱ κοινωνοί οἳ τὸ χρυσίον μοι τοῦτο παρέθεντο· ὥσπερ δῆτα καὶ πρίν, ἐδηλώθη C 6 παρεθέμενοι B ib. καθὰ ex καθὸ factum A ib. ὑπὲρόχὴ A, μεγιστότητι C 7 δόσῃς AB, δώσ(ειν) ut vid. C pr., corr. δώσ(εις) ib. τινὶ om. B 8 εἰ μὴ] ἐὰν μήτοι γε C ib. ὁμοθυμαδῶν B, «zusammen» Syrus ib. παραγενοίμεθα πρὸς σέ C ib. νὴν A, νυνὶ CB 9 ἐστι CB ib. τὸ λοιπόν A, λοιπὸν B, τοίνυν C 10 καθὰ δὴ] καθάπερ ὡς ἔφην C 10 sq. παρηγγυῆσαντο A, μοι κατηγγυήσαντο C 11 εἰθούτως αὐτοῖς] οὕτως C ib. κοινὸς] κοινωνὸς B ib. ἐμοῦ] ἐμοῦ αὐτοῖς C 12 τοίνυν] τοιγαροῦν C ib. ὑπὸθήκαι littera ς sive foramine hausta sive propter foramen non scripta A 12 sq. σφόδρα ἡσθῆσα (ἡσθήσθη B) ἡ γυνὴ (γηνὴ A) εὐθὺς AB, ἡ γυνή σφόδρα ἡσθεῖσα, ταχέως C 13 sq. παρ' ἐκείνου — αὐτῇ] πρὸς τοῦ παιδός παρατεθέντα πρὸς αὐτήν (sic) C 14 ἀπεμ|φθέγξατο A 14 sq. εὐλογοφανῶς—καὶ] om. Syrus 15 λέγειν διαγνοὺς τὴν γυναῖκα C, λέγειν τὴν γυναῖκα διαγνοῦς B, λέγει τῇ γυναικὶ A ib. μεταστέλεται A

16 μοι F, με (DE) Boiss. 17 με Ebh., μοι DEF 18 τὸν ἡγεμόνα seclusit Ebh. 22 ἐνδοξώτητα F

πρὸς αὐτούς·/ δικαίως τανῦν ὑμῖν ἡ γραῦς ἀντιτίθεται. λοιπὸν οὖν παραστήσατε μεθ' ἑαυτῶν καὶ τὸν ἕτερον ὑμῶν κοινωνόν, καθὰ δὴ καὶ ὑμεῖς αὐτῇ ἐνετείλασ|θε, A f. 285ª καὶ εἰθούτως οἱ τρεῖς ὁμοθυμαδὸν τὸ χρυσίον ἀπολήψεσθε. τῆς οὖν τοιαύτης ἀποφάσεως παρὰ τοῦ δικαστοῦ ἐκείνου ἐσύστερον ἐξενεχθείσης καὶ τῆς γυναικὸς μηκέτι παρὰ τῶν δύο ἀνδρῶν ἐκείνων καθελκομένης, συνῆκεν ὁ ἄρχων ὡς παρ' ἑτέρου τινὸς ἡ ἐγκαλουμένη γραῦς τὸν ἔσχατον ἐκεῖνον ἀπόλογον ἐξεδίδακτο· καὶ ταύτην προσκαλεσάμενος ἐπυνθάνετο παρ' αὐτῆς τίς ἄρα αὐτῇ τὴν πιθανὴν ἀντίθεσιν ἐκείνην ὑπέθετο. ἡ δὲ ἀπεκρίνατο ὅτι· παῖς μοι πενταετὴς ἐντυχὼν καὶ ὀδυρομένην με ἑωρακὼς ἐκεῖνός μοι ταύτην τὴν ἀντίθεσιν ὑπεσήμανεν. ὁ δὲ ἡγεμὼν αὐτίκα τὸν παῖδα πρὸς ἑαυτὸν μετεστείλατο, καὶ τοῦτον ἐπηρώτα λέγων· σύ, ὦ παῖ, τόνδε τὸν λόγον τῇ γραΐδι ὑπέθου; ὁ δέ, ναί, φησίν, ὦ κύριέ μου. ὁ δὲ δικαστὴς ἐκπλαγεὶς ἐπὶ τῇ τοῦ παιδὸς συνέσει καὶ ἀγχινοίᾳ εὐθὺς αὐτὸν καθηγητὴν ῥητόρων καὶ φιλοσόφων προβάλλεται.

Ἄκουσον δέ, ὦ δέσποτα καὶ βασιλεῦ, καὶ τῆς περὶ τοῦ γηραιοῦ ἀνδρὸς

RETRACTATIO.

ρὸν οὐκ ἀποδίδει./ λοιπὸν ἔλθετε καὶ οἱ τρεῖς, καθὼς εἴπατε τὸ καταρχάς, καὶ οὕτως ὁμοῦ καὶ οἱ τρεῖς τὸ|χρυσίον λήψεσθε. τῆς γοῦν τοιαύτης ἀποφάσεως παρὰ τοῦ p. 124 δικαστοῦ ἐξελθούσης δικαίας ὁμοῦ καὶ ἀναμφιβόλου καὶ τῆς γυναικὸς μηκέτι παρὰ τῶν δύο συρομένης, ἐνόησεν ὁ δικάζων ὅτι ἡ γυνὴ παρά τινος φρονίμου τὴν τοιαύτην ἤκουσεν ἀπολογίαν· καὶ πρὸς ἑαυτὸν λαλήσας τὴν γυναῖκα ἠρώτα· ὦ γύναι, τίς εἰπέ σοι τὸν τοιοῦτον ἄριστον καὶ πιθανώτατον λόγον; ἡ δὲ ἀπεκρίνατο· παιδίον πενταετὲς συνήντισέ με καὶ κλαίουσάν με ἰδὸν καὶ ἀκούσας παρ' ἐμοῦ τὴν αἰτίαν, ταύτην εἰπέ μοι τὴν ἀπολογίαν ἀποκριθῆναι εἰς τὸ βῆμά σου. ὁ δὲ ἡγεμὼν αὐτίκα πρὸς ἑαυτὸν τὸν παῖδα ἐκάλεσε, καὶ αὐτὸν ἐπηρώτα λέγων· σύ, ὦ παιδάριον, τῇ γραΐδι τὸν λόγον τοῦτον παρήγγειλας; ναί, φησὶν ὁ παῖς, κύριέ μου. καὶ ὁ δικαστὴς ἐκπλαγεὶς ἐπὶ τῇ τοῦ παιδὸς φρονήσει καὶ ὀξύτητι τοῦ νοὸς εὐθὺς αὐτὸν διδάσκαλον προεβάλετο ῥητόρων καὶ φιλοσόφων.

Ἄκουσον δέ, ὦ θειότατε βασιλεῦ, καὶ περὶ τῆς τοῦ γηραιοῦ ἀνδρὸς διηγήσεως.

---

1 δικαίως — παραστήσατε] εὐλόγως ἡμῖν ἡ γυνὴ ἥδε νυνὶ λέγει· ὅθεν αὐτῇ παραστήσατε ὑμεῖς C ib. ἡ|μὶν A ib. ἀντίθεται AB 1 sq. παραστήσατε—κοινωνὸν] «Geht, holt euren Freund» Syrus 2 καθὰ δὴ] καθὼς ἄρα C 3 καὶ om. C ib. ἀπὸλήψεσθαι A, ἀπολήψασθαι B 4 ἐκείνου ἐσύστερον om. C 6 ἐκεῖνον A, τόνδε C 7 τἄβτην πρὸσκαλεσάμενος A, προσκαλεσάμενος αὐτήν C ib. αὐτῇ] αὐτὴν B, ταύτη C 8 ἀντί̈θεσιν ἐκείνην A, ἐκείνην ἀντίθεσιν B, ἀντίθεσιν ταύτην C ib. ἐπέθετο B ib. ὅτι om. C ib. πενταέτης C ib. ἐντηχῶν A 9 ὀδυρωμένην BC, ὀδὔρωμένην A ib. με om. C ib. ἐκεῖνος μοι ταύτην A, ᾤκτειρέ με καὶ τήνδε C ib. ὑπεσήμανε B 10 αὐτήκα A, om. C ib. μετεστείλατο] εὐθὺς μετεστείλατο C 10 sq. τοῦτον — λέγων] ἤξαντα ἐπερώτησε λέγων αὐτῷ C 11 ὦ παι A, ὦ παῖ ἀληθῶς C ib. διέθου B 12 εὐθέως C 13 προβα ται A (λλ' suprascr.) 14 sq. Ἄκουσον — διηγήσεως] «Und folgendes ist die Geschichte von dem Blinden» Syrus 14 prius καὶ om. CB ib. τῆς περι A, περὶ τῆς B

18 ἐννόησεν F (ο suprascr.) 19 ἑαυτὴν F ib. χαλέσας Ebh. 20 ὦ κυριέ μου post ἀπεκρίνατο add. F 21 ἰδών F ib. ἀκοῦσαν? Boiss. 24 παρήγγειλες F 27 τῆς περὶ ex C Ebh.

διηγήσεως. Ἀνὴρ γάρ τις ἦν ὃς εἰωθὼς ἐμπορεύεσθαι, ἀρωματικὰ ξύλα εἰς ἐμπορίαν ὠνήσατο· καὶ δὴ μεμαθηκὼς περί τινος πόλεως ὡς σπανίως ἐν αὐτῇ τὰ τοιαῦτα ἐφευρίσκονται, εὐθὺς ἄρας τὰ ὠνηθέντα πρὸς ἐκείνην ἐπορεύθη τὴν πόλιν. καταλαβὼν δὲ τὰ ἐκεῖσε, ἔξω τῆς πόλεως τὴν κατάλυσιν ἔθετο ὥστε μαθεῖν πρότερον πῶς ἐν αὐτῇ πιπράσκεται τὸ τοιόνδε ἀρωματικὸν ξύλον. ἐν δὲ τῷ μεταξὺ γυνή τις δούλη τῶν ἐν τῇ πόλει τινὸς τυγχάνουσα τὸν ἔμπορον θεασαμένη, πόθεν, ὦ ἑταῖρε; πρὸς αὐτὸν ἔφη, καὶ τίνα εἰσὶν ἃ ἐπιφέρῃ; ὁ δέ, ἔμπορος ἐγώ, ἀπεκρίνατο, καὶ ἃ ἐπιφέρομαι ξύλα εἰσὶν ἀρωματικά. ἡ δὲ εἰσελθοῦσα πρὸς τὸν αὐτῆς κύριον, πάντα δὴ τὰ κατ' ἐκεῖνον τὸν ἔμπορον αὐτῷ διεσάφησεν. ὁ δὲ ποικίλος ὢν καὶ πανοῦργος τὸν τρόπον, αὐτίκα συναγαγὼν ἃ παρ' ἑαυτῷ ἀρωματικὰ ξύλα ἐκέκτητο τῷ πυρὶ ἔβαλεν. καὶ τοῦτο αὐτοῦ ἐμφυσήσαντος πολλή τις ἐκεῖθεν εὐωδία ἐξεπέμπετο. ἧς καὶ ὀσφρανθεὶς ὁ ἔξωθεν ἔμπορος λέγει τοῖς περὶ αὐτόν· εὐωδίας πλήρης ἀρωματικῆς ὀσφραίνομαι· ἴδετε οὖν τὸ τάχος σὺν ἀκριβείᾳ πολλῇ μήπως τινὶ τῶν ἡμετέρων γόμων πυρκαϊά

RETRACTATIO.

p. 125 Ἄνθρωπός τις ἦν ὃς εἶχε συνήθειαν πραγματεύεσθαι ξύλα μυριστικά· ὃς καὶ ἤκουσε παρὰ ἀνθρώπων ὅτι τὰ μυριστικὰ ξύλα εἰς τόδε τὸ κάστρον ἀκριβῶς εὑρίσκονται. καὶ εὐθὺς ὁ ἔμπορος ἅπερ εἶχεν ἀρωματικὰ ξύλα ἀγορασμένα λαβὼν ἀπῆλθεν εἰς τὴν πόλιν ἐκείνην. ὡς δὲ ἐπεσώθην ἐκεῖ, κατεσκήνωσεν ἔξω τῆς πόλεως ἐκείνης, ἵνα μάθῃ πῶς ἡ τιμὴ τῶν ξύλων ἐκείνων ἐν τῇ πόλει ἐστί. διὰ μέσου δὲ τῆς ἡμέρας ἐκείνης ἰδοῦσα αὐτὸν μία δούλη τινὸς τῶν ἀρχόντων τῶν ἐγχωρίων ἠρώτησεν αὐτόν· σὺ τίς εἶ; καὶ τί τὰ ἐπιφερόμενα πράγματα; ὁ δὲ ἔφη· ἔμπορός εἰμι, καὶ ταῦτα τὰ ξύλα μυριστικά. ἡ δὲ δούλη ἐκείνη τῷ ἰδίῳ δεσπότῃ ὅσα λελάληκεν αὐτῇ ὁ ἔμπορος ἐφανέρωσεν. ὁ δὲ κύριος τῆς δούλης πολύξευρος ὢν εὐθέως συνῆξεν ὅσα ἀρωματικὰ εἶχε ξύλα καὶ εἰς τὸ πῦρ ἔβαλε. καὶ ἀνάψαντος τοῦ πυρὸς πολλὴ εὐθὺς ἐξῆλθεν εὐωδία ἐκεῖθεν. ἐκεῖ γοῦν πλησίον ὁ ἔμπορος ὑπάρχων καὶ τῆς ὀσμῆς ἐκείνης πλησθεὶς
p. 126 εἶπε τοῖς ἐκεῖ οὖσιν ἀνθρώ|ποις· πολλῆς εὐωδίας ξύλων μυριστικῶν ἐμπίπλαμαι, καὶ παρακαλῶ, θεάσασθε μήπως τις εἰς τὰ ἐμὰ ξύλα πυρκαϊὰν ἀνῆψε, καὶ καίονται τὰ

---

1 γὰρ om. C ib. ὣς C 1 sq. ἀρωματικὰ — μεμαθηκὼς] in his («wohlriechendes Holz, das man Aloe neunt. Da hörte») desinit Syrus Baetgeni 2 ἐμπορείαν C ib. ὠνήσαντο B ib. καὶ δὴ] ὃς καὶ C ib. ὣς πανίως A, ὡς σπάνις C 2—5 ἐν αὐτῇ — ξύλον] αὐτῇ τῶν τοιούτων, τάχος τὰ ἐωνημένα παραλαβών, εἰς ταύτην ἤλαυνε τὴν πόλιν· ᾗ πλησίον γενόμενος, ἔξωθεν τὴν κατάλυσιν ἐποιήσατο· μαθεῖν ἐντεῦθεν πρότερον ᾑρημένος, πῶς ἄρα ἐν ταύτῃ τῇ πόλει περὶ τούτων ἔχει τῶν ξύλων ἡ ὤνησις C 3 εὐθεῖς A 5 πρότερον A, πρῶτον B ib. το τοιόνδε A, τὸ τοιοῦτον δὲ B 6 τινὸς om. B 7 ὦ om. B ib. ἕτερε A ib. in marg. κβ C ib. δ' C 8 ἔγωγε C ib. καὶ om. C 9 ἑαυτῆς CB ib. δὴ om. C 9 sq. διεσάφεσεν B

10 ποικίλως B 11 ἑαυτόν C ib. τῶ πῦρὶ ἔβαλλεν A, ἐνέβαλε τῷ πυρί· ὀλίγάττ (α) ὑπάρχοντα C ib. τοῦτο αὐτοῦ om. C 11 sq. ἐμφησήσαντος AB 12 καὶ om. C 13 τῆς A ib. πλήρης] πλείστης Ebh., «πλῆρες? cf. Digenis <Cryptoferratensis I 35. III 99. IV 185.>» Jernstedt 14 πολλῇ ἀκριβείᾳ, μήπώ τινι C

16 ἀνθρώπων τινῶν ὅτι? Ebh. 26 τῆς F ib. ἐμπίπλαμα F

τις προσήγγισεν, καὶ ἡμέτερα ἀρώματα ὑποκαίονται. οἱ δὲ πρὸς αὐτὸν εἰρήκασιν· οὐδαμῶς πυρκαϊά τις ἢ σπινθὴρ τὸ παράπαν τινὸς τῶν | ἡμετέρων (A f. 286b) ἥψατο γόμων. πρωΐ|ας δὲ γενομένης εἰσέδυ ἐκείνην τὴν πόλιν ὁ ἔμπορος. καὶ (B f. 102) εὐθὺς συναντᾷ αὐτῷ εἰσερχομένῳ ὁ τῆς δούλης ἐκείνης δεσπότης· εἶτα καὶ πυνθάνεται παρ' αὐτοῦ τί ἄρα εἶεν ἅπερ ἐν τῷ ἰδίῳ φόρτῳ ἐπιφέροιτο. ὁ δὲ ἔμπορος, ἀρωματικά, φησί, κομίζω ξύλα εἰς ὤνησιν τῶν βουλομένων ἀπὸ τῶν τῆς πόλεως ταύτης κατοίκων. αὖθις δὲ ἐκεῖνος· τίς σε, ὦ ἄνθρωπε, κατηνάγκασε ταῦτα πρὸς ταύτην διακομίσαι τὴν πόλιν καὶ τἆλλα δὴ τὰ ἐπικερδῆ σοι εἴδη καταλιπεῖν; ἴσθι γὰρ ἐν ἀκριβείᾳ ὡς τοῖς τοιούτοις οἷα καυσίμῳ ὕλῃ οἱ ἐνταῦθα προσανέχουσι καὶ πρὸς τὴν τῶν καμίνων ταῦτα καταχρῶνται ἔκκαυσιν. ἀλλ' ἐγώ, φησὶν ὁ ἔμπορος, ἠνώτισμαι μᾶλλον ὡς ὑπὲρ πάσας τὰς πόλεις αὕτη ἐνδεὴς τῶν τοιούτων καὶ σπανίζουσα πέφυκεν. ἀπεκρίνατο δὲ πρὸς αὐτὸν ὁ ἀνήρ· οἱ ταῦτα εἰρηκότες σοι μεγάλως σε ἐξηπάτησαν. τούτοις τοῖς λόγοις ὁ ἔμπορος τὴν καρδίαν πληγεὶς συνεσχέθη τῇ λύπῃ. ὁ δέ γε ὁ ἀνὴρ ἐκεῖνος ἀνίᾳ συσχεθέντα

RETRACTATIO.

ἡμέτερα. οἱ δὲ πρὸς αὐτὸν εἶπον· οὐδαμῶς ἐν τῷ σῷ φόρτῳ ἀνῆψέ τις πυρκαϊὰν ἢ σπινθῆρα. καὶ πρωΐας γενομένης εἰσῆλθεν εἰς τὴν πόλιν ἐκείνην ὁ ἔμπορος. καὶ συναντᾷ αὐτῷ ὁ τῆς δούλης ἐκείνης δεσπότης καὶ ἐρωτᾷ αὐτόν· τί ἄρα εἰσὶ τὰ ἐν τῷ φόρτῳ φερόμενα; ὁ δὲ ἔμπορος ἔφη· ἀρωματικὰ ξύλα ἔφερον. ὁ δὲ ἐγχώριος πρὸς τὸν ἔμπορον εἶπε· τίς σε, ὦ ἄνθρωπε, κατηνάγκασε τὰ τοιαῦτα ξύλα πρὸς ταύτην τὴν πόλιν κομίσαι, παραιτησάμενος ἄλλα εἴδη ἀφ' ὧν ἔμελλες κερδᾶναι; γίνωσκε γὰρ ὅτι ταῦτα τὰ ξύλα ἐνθάδε χρείαν οὐκ ἔχουσιν· οἱ γὰρ κατοικοῦντες ἄνθρωποι ὧδε ὡς καύσιμα ἔχουσι καὶ τούτοις χρῶνται εἰς κλίβανον καὶ φοῦρνον. καὶ ὁ ἔμπορος· καὶ πῶς ἔστι τοῦτο, ὅτι ἐγὼ ἤκουσα ὅτι πλέον ἡ πόλις αὕτη χρῄζει τῶν τοιούτων ξύλων ἢ ἄλλαι πό|λεις; ὅτε καὶ πρὸς τὸν ἔμπορον ἀπεκρίνατο· οἱ ταῦτα εἰπόντες σε (p. 127) μεγάλως σε ἠπάτησαν. τούτοις τοῖς λόγοις ὁ ἔμπορος τὴν καρδίαν πληγείς, ἔμενε λυπούμενος. ὁ δὲ ἀνὴρ ἐκεῖνος ἰδὼν τὸν ἔμπορον σφόδρα λελυπημένον λέγει πρὸς

---

1 προσύγγϋσεν A, προσήγγησε B, προσήγγισε C ib. ὑμέτερα A ib. χαίεται ἀρώματα C 1 sq. πρὸς αὐτὸν εἰρήκασιν] φασιν C 2 πύρκαΐα A ib. ὑμετέρων A 3 γεννομένης A ib. εἰσέδυ ἐκείνην τῆν πόλϊν A, τὴν πόλιν εἰσέρχεται C 3 sq. καὶ—εἰσερχομένῳ] ᾧ καὶ εἰσελαύνοντι, συναντᾶ C 4 καὶ om. C 5 ἅπερ A, ἃ C ib. ἐν CB, om. A ib. ἐπιφέρειτο A, αὐτοῦ κέκτηται C ib. δ' C 6 κομίζω] κεκόμισμαι C ib. ὄνησιν A, ἐξώνησιν CB ib. τοῖς βουλομένοις C ib. ἀπὸ om. C 7 ταύτης] τῆσδε C ib. δ' CB 8 sq. καὶ—ἀκριβείᾳ] τὰ δ ἄλλ' ἅ σοι ἐπικερδῆ ἐτύγχανεν εἴδη παραλιπεῖν; ἐν ἀκριβείᾳ γὰρ ἴσθι C 9 sq. οἷα—ἔκκαυσιν (ἔκαυσιν A)] οἱ ἐνταῦθα ἄνθρωποι ξύλοις, οἷα καυσίμῳ ὕλῃ τϊνϊ προσανέχουσι, καὶ πρὸς ἔκκαυσιν καμίνου αὐτοῖς χρῶνται C ib. ἐνταῦθα προσανέχουσι. καὶ πρὸς τὴν τῶν B, om. A 11 ἔγωγέ C ib. μᾶλλον om. C 11 sq. ἐνδεὴς—ἀπεκρίνατο δὲ] μάλιστα ἐνδεὴς καὶ σπανίζουσα τῶν τοιούτων. ὁ δὲ C 12 ὁ ἀνὴρ om. C 13 ταῦτα] τοῦτ' C ib. μεγάλλως A, πολύ C ib. ἠπάτησαν C 13 sq. τὴν καρδίαν πληγεὶς ὁ ἔμπορος C 14 συνεχέθη A ib. ὁ ἀνὴρ AB, ἀνὴρ C 14 sq. τοῦτον συσχεθέντα C

20 παραιτησάμενον? Ebh. 22 καὶ φοῦρνον delenda censebat Ebh. 24 καὶ] καὶ ἐκεῖνος? Ebh. 25 ἔμεινε D

τοῦτον ἑωρακὼς λέγει πρὸς αὐτόν· ὁρῶ σε δεινῶς, ἑταῖρε, γεγονότα περίλυπον καί σε κατοικτείρω, ἴσθι, τῆς σφοδρᾶς ἀθυμίας. ἄγε δὴ λοιπὸν διάπρασόν μοι τὸν φόρτον σου ἅπαντα· καὶ εἴ τι βούλει παράσχω σοι ἐν πλήρει πίνακι. ὁ δὲ ἔμπορος συλλογισάμενος καθ' ἑαυτὸν ἔλεγε· βέλτιόν μοι τοιγαροῦν, ὡς στοχάζομαι, πέφυκεν εἴ τι δή μοι δῴη ὁ ἀνὴρ οὗτος εἰληφέναι ἐξ αὐτοῦ ἤπερ τὴν ἐμπορίαν μου παντελῶς ἐαθῆναι ἀδιάπρατον. καὶ ταῦτα διανοησάμενος, αὐτίκα διεπώλησεν ἐκείνῳ τῷ ἀνδρὶ τὸν ἑαυτοῦ φόρτον ἅπαντα, συναρεσθεὶς ὑπὲρ τῆς τιμῆς ἐξ αὐτοῦ εἰληφέναι, εἴ τι δὴ καὶ παρ' αὐτοῦ ἐπιζητήσειεν, ἐν πίνακι πεπληρωμένῳ. λαβὼν οὖν ὁ ἀνὴρ τὰ ὠνηθέντα παρ' αὐτοῦ εἰς τὴν ἰδίαν διεκόμισεν οἰκίαν, μήτινος περὶ τούτου αἰσθομένου τὸ σύνολον. ὁ μέντοι ἔμπορος τὴν πόλιν περιερχόμενος κατέλυσε ἅμα τοῖς αὐτοῦ κοινωνοῖς παρά τινι γραΐδι γυναικί. εἶτα αὐτὴν ἐπερωτᾷ λέγων· πῶς ἄρα, ὦ γύναι, τὰ ἀρωματικὰ ξύλα ἐν ταύτῃ ἀπεμπολοῦνται τῇ πόλει; ἡ δὲ ἔφη πρὸς αὐτόν· ἰσοστάθμῳ αὐτοῖς χρυσῷ τὰ τοιαῦτα πιπράσκονται. πλήν, ὦ ἔμπορε, ἰδοὺ λέγω σοι· προσεκτικῶς ἔχε ἀπὸ τῶν

RETRACTATIO.

αὐτόν· βλέπω σε, φίλε, σφόδρα γεγονότα περίλυπον καὶ ἐλεῶ σε πολλὰ διὰ τὴν λύπην σου ταύτην. διὰ τοῦτο τοίνυν, ἂν χρήζῃς, ἐλθὲ καὶ πώλησόν με τὴν πραγματείαν σου ὅλην· καὶ εἴ τι θέλεις δώσω σοι εἰς πινάκιν γεμάτον. ὁ δὲ ἔμπορος ἀνελογίζετο καθ' ἑαυτὸν λέγων· στοχάζομαι ὅτι κάλλιόν ἐστι τοῦ δοῦναι τὴν πραγματείαν μου ὅλην τῷ ἀνδρὶ τούτῳ ἢ ἀπομεῖναι τὰ πράγματα ἀπούλητα· καὶ ὅσα βούλεται δοῦναί μοι λήψομαι· τοῦτο γὰρ κρεῖττόν ἐστιν ἢ ἀπομεῖναι τὰ πράγματα ἀπώλητα. καὶ τοῦτο ἐν τῷ νοῒ βουλευσάμενος, ἐπώλησε τὴν πραγματείαν πᾶσαν αὐτοῦ ὁ ἔμπορος πρὸς τὸν ἐγχώριον, συμβιβασθεὶς λαβεῖν, εἴ τι ἄρα καὶ ζητήσει, ἕνα πίνακα γεμισμέ-
p. 128 νον. λαβὼν οὖν ὁ ἀγοράσας τὴν πραγ|ματείαν τοῦ ἐμπόρου ἤγαγεν εἰς τὴν οἰκίαν αὐτοῦ, μηδενὸς τὸ καθ' ὅλου γινώσκοντος περὶ τούτου. ὁ μὲν οὖν ἔμπορος ἐκεῖνος περιπατῶν ἐν τῇ πόλει, εἰσῆλθεν εἰς οἰκίαν γραΐδος τινὸς μετὰ τῶν συντρόφων αὐτοῦ τοῦ καταλυθῆναι ἐκεῖ. καὶ ἐπηρώτα τὴν γραῦν ὁ ἔμπορος λέγων· πῶς ἄρα, ὦ γύναι, τὰ ἀρωματικὰ ξύλα ὧδε πωλῶνται; ἡ δὲ ἔφη· ἰσόσταθμα τῷ χρυσῷ ταῦτα πωλῶνται. πλὴν λέγω σοι, ἔμπορε· πρόσεχε καλῶς ἀπὸ τῶν πολιτῶν τῆσδε τῆς πόλεως· παν-

---

1 ἔφη αὐτῷ C ib. ὦ ἑταῖρε C 2 κατοικατέικτείρω A ib. ἴσθη A, om. C ib. λυπὸν A 2 sq. μοι πάντα τὸν φόρτον σου C 3 βοῦλλει A ib. πλήρη AB ib. δ' C 4 ἀναλογισάμενος B ib. ἔλεγεν B ib. τοί γὰρ οὖν A, οὖν C 5 δώει ἀνὴρ A, καὶ δώοι ὁ ἄνθρωπος C ib. ἐξ αὐτοῦ om. C ib. εἴπερ B, εἰπὲρ A, ἢ C 5 sq. ἐμπορείαν C 6 παντελῶς εἰσθῆναι B, ὅλην ἐαθῆναι C ib. ἀδιάπραττον B, ἀδιἄπραττον A ib. αὐτήκα A, om. C 7 ἐκείνω τὸ ἀνδρὶ A, αὐτῷ C 8 ἐξ αὐτοῦ A, ἧς ἤμελλεν C ib. εἴ τι AB, ἤτοι C ib. δὴ—ἐπιζητήσειεν om. C ib. ἐν om. B 8 sq. πεπληρωμένον B 9 ὠνιθέντα παραὐτοῦ A, ἐωνημένα C 9 sq. ἐκόμισεν οἰκίαν B, οἰκίαν ἐκομίσατο C 10 μήτινος—σύνολον om. C 11 περιὲρχόμενος A, διερχόμενος C ib. κατέλυσεν CB ib. αὐτοῦ C 12 εἶτα αὐτῆν A, καὶ αὐτῇ C ib. ἐπερωτὰ A, ἐπηρῶτα B, ἐπηρώτησε C ib. ἀρωματικᾶ A, τῶν ἀρωμάτων C ib. ἐν ταύτῃ om. C 13 ἡ δὲ] ὁ δὲ A ib. ἰσῦστάθμω B ib. χρυσίῳ C 13 sq. τὰ τοιαῦτα πιπράσκονται A, om. C

18 τοῦ eiciendum vel in τὸ mutandum putabat Ebh.

τῆσδε τῆς πόλεως κατοίκων· πανοῦργοι γὰρ ἅπαντες καὶ ποικίλοι πεφύκασιν, καὶ οὐκ ἔστι τὸν ἐνταῦθα παραγενόμενον μὴ παρὰ τῶν πολιτῶν αὐτῆς ὄλεθρον αὐτὸν σχεδὸν ὑφίστασθαι. ταύτα εἰπούσης τῆς γραΐδος ἐκείνης γυναικὸς, ἐξῄει τοῦ | οἰκίσκου αὐτῆς μετ' ὀλίγον ὁ ἔμπορος τὰ κατὰ τὴν πόλιν ὀψόμενος. καὶ [A f. 287] ὁρᾷ τρεῖς ἄνδρας τινὰς ἐπὶ τὸ αὐτὸ καθεζομένους, οἵσπερ καὶ θαμινὰ ἐνατενίζων εἱστήκει. κἀκείνων δὲ τὸν ἔμπορον ἑωρακότων, θάτερος αὐτῶν πρὸς τοῦτον εἰρήκει· δεῦρο, ὦ πάτερ, σύ τε κἀγὼ πρὸς ἀλλήλους διαλεχθῶμεν· | καὶ ὃς ἂν [B f. 103] τοῦ ἑτέρου τῇ τῶν λόγων περιγένοιτο πιθανότητι, ἐπιταξάτω τῷ ἡττηθέντι πεποιηκέναι ὅπερ ἂν ὁ νενικηκὼς βούλοιτο. ὁ δὲ ἔμπορος ἁπλοϊκῇ τῇ γνώμῃ καὶ ἀπεριέργῳ στοιχῶν, ναί, φησίν, καὶ γενέσθω καθὼς ἐκέλευσας. εἶτα ἐκαθέσθησαν πρὸς ἀλλήλους διαλεγόμενοι· καὶ νενίκηκε τὸν ἔμπορον ὁ μῖμος ἐκεῖνος καὶ πανοῦργος ἀνὴρ, καὶ πρὸς αὐτὸν ἔφη· ἰδού, ὡς ὁρᾷς, τοῖς λόγοις περιεγενόμην σου· λοιπὸν οὖν ἐπιτρέπω σοι καταπιεῖν ἅπαντα τὰ τῆς θαλάσσης ὕδατα. ἐπὶ τούτοις οὖν ὁ ἔμπορος ἐν ἀθυμίᾳ καὶ ἀμηχανίᾳ γέγονε, μὴ δυνάμενός

RETRACTATIO.

οὖργοι γὰρ καὶ δόλιοί εἰσιν ἅπαντες καὶ ποικίλοι ταῖς πράξεσι, καὶ οὐκ ἔστι δυνατὸν τὸν ἐνταῦθα ἐλθόντα ξένον μὴ παρὰ τούτων φθορὰν, εἰ δυνατὸν, τῆς ἑαυτοῦ ζωῆς ὑπομεῖναι. ταῦτα εἰπούσης τῆς γραΐδος ἐκείνης, ἐξῆλθε τῆς οἰκίας αὐτῆς ὁ ἔμπορος θεάσασθαι τὰ ἐν τῇ πόλει. καὶ ὁρᾷ τρεῖς ἄνδρας ὁμοῦ ἐπὶ τὸ ἔργον καθεζομένους, καὶ ἱστάμενος συχνῶς ἐνατενίζων ἔβλεπε τούτους. ἐκεῖνοι δὲ πάλιν ἑωρακότες τὸν ἔμπορον, εἷς ἀπὸ τούτων τῶν τριῶν λέγει πρὸς αὐτόν· ἐλθὲ, ὦ | πάτερ, καὶ διαλεχθῶμεν ἐγὼ καὶ [p. 129] σὺ πρὸς ἀλλήλους· καὶ ὅστις ἀφ' ἡμῶν νικήσει ἐπὶ τῇ τῶν λόγων στροφῇ καὶ πιθανότητι, ἐπιταξάτω τῷ νενικημένῳ ποιῆσαι ὅ τι καὶ βούλεται ὁ νενικηκώς. ὁ δὲ ἔμπορος ἀπεριέργῳ τῇ γνώμῃ καὶ ἁπλοϊκῇ τῇ ψυχῇ, ναί, φησί, στέργω, καὶ γενέσθω ὡς ἐκέλευσας. εἶτα ἐκάθισαν πρὸς ἀλλήλους διαλεγόμενοι· καὶ νενίκηκε τὸν ἔμπορον ὁ μῖμος ἐκεῖνος καὶ πανοῦργος ἀνὴρ, καὶ φησὶ πρὸς αὐτόν· ἰδοὺ, ὡς ὁρᾷς, ἐνίκησά σε τοῖς λόγοις μου· καὶ κατὰ τὴν συμφωνίαν ἡμῶν ἐπιτρέπω σε πιεῖν πάντα τὰ τῆς θαλάττης ὕδατα. ἐπὶ τούτοις οὖν ὁ ἔμπορος ἐν ἀπορίᾳ γέγονε, μὴ δυνάμενός τινα μηχανὴν

---

1 τῆσδε B, τῆδε (sic) C, τοίδε A ib. πεφύκασι CB 2 τὸν ἐνταῦθα παραγινόμενον B, τίς τῶν ὧδε ἡκόντων C ib. αὐτοῖς A ib. ὀλέθρῳ C 3 αὐτὸν σχεδὼν A, αὐτοσχεδὸν? Jernstedt, μικροῦ C ib. παρυφίστασθαι C ib. γραΐδης A ib. ἐκείνης τῆς γυναικὸς B, om. C 4 οἴκου C ib. μετὸλίγων A ib. ὁ ἔμπορος om. C 5 τινὰς om. C ib. ἐπὶ τὸ αὐτῷ A, ἅμα C ib. οἵσπερ καὶ A, οἷς C ib. δαμινᾶ A 6 ἑωρακότων—τοῦτον] τοῦτον ἑωρακότων (sic) θατέρῳ τούτων C 7 διάλλαχθῶμεν A 8 τῇ — πιθανότητι] ὑπερτηρήσοι C 9 ποιῆσαι C ib. δ' C ib. ἁπλοΐκη τῆ γνώμη A 10 ἀπεριέργω B, ἀπεριἕργω τῆ γνώμη A, ἀπεριέργῳ τῇ γνώσει C ib. στηχῶν A ib. φησὶ CB 12 καὶ posterius om. A ib. ἔφη αὐτῷ C 13 οὖν] ὃ C ib. ἐπιτρέπωσσοι A, ἐπιτρέπω σοι ποίει C ib. ἅπαντα] σε βούλομαι C 14 τούτοις] τοῖσδε C ib. οὖν om. CB ib. γεγόνε A, γενόμενος C 14 sq. μὴ δυνάμενος] οὐκ ἠδύνατο C

20 «in αὐτόν desinit in F f. 80r; pergitur f. 80v ἰδοὺ (25), mediis (20—25) propter vv. πρὸς αὐτὸν repetita omissis» Ebh. 26 θαλάττης (DE)

τινα εὐλογοφανῆ ἀντίθεσιν τῷ μίμῳ ἀντιπροβάλλεσθαι καὶ τοὺς αὐτοῦ βρόχους διαφυγεῖν. ἦν δὲ ὁ ἔμπορος γλαυκόφθαλμος τὴν ὅρασιν· ἔτυχε δὲ καὶ ὁ ἕτερος τῶν τριῶν μίμων ἐκείνων μονόφθαλμος μὲν ὑπάρχων, γλαυκὸν δὲ τὸν ἕνα αὐτοῦ κεκτημένος ὀφθαλμόν. κἀκεῖνος δὲ ἀναστὰς ἐπελάβετο ἰσχυρῶς τοῦ ἐμπόρου λέγων· σύ μου τὸν ἕτερον ἐσύλησας ὀφθαλμόν· ἄγωμεν τοίνυν ἀμφότεροι πρὸς τὸν τῆς πόλεως ἄρχοντα, ὅπως δι' αὐτοῦ ἀποδώσεις μοι τὸν παρα σοῦ συληθέντα μου ὀφθαλμόν. ἠκηκόει δὲ ταῦτα καὶ ἡ τὸν ἔμπορον ὑποδεξαμένη γραῦς καὶ ὅτι πρὸς τὸν τῆς χώρας ἄρχοντα ὁ μῖμος ἐκεῖνος τὸν ἔμπορον εἷλκε· καὶ τούτοις ἀπερχομένοις συναντήσασα ἔφησε πρὸς τὸν μῖμον· ἔασον, ἀξιῶ, τὴν σήμερον ἐγγυητικῶς παρ' ἐμοὶ τὸν ἔμπορον· κἀγὼ αὐτὸν κατὰ τὴν αὔριον πρωίαν, εἴπερ παρὰ σοῦ ζητηθῇ, αὖθις παραστήσω σοι. ὁ δὲ εἴξας τῇ τῆς γυναικὸς ἀξιώσει κατέλιπε παρ' ἑαυτῇ τὸν ἔμπορον. καὶ λαβοῦσα αὐτὸν ἐκείνη πρὸς τὴν ἑαυτῆς ἐπανήγαγεν οἰκίαν· εἶτα λέγει πρὸς τὸν ἔμπορον· πάντως σοι προκατήγγειλα προσεκτικῶς ἔχειν ἀπὸ τῶν ἐνταῦθα πολιτῶν, ὅτιπερ μῖμοι καὶ πονηροὶ τὴν φύσιν καὶ ποικίλοι καθεστήκασιν· μηκέτι οὖν εἰς τοὐμ-

RETRACTATIO.

εὑρηκέναι εὐλογοφανῆ καὶ προβαλέσθαι τῷ μίμῳ εἰς ἀντίθεσιν καὶ τοὺς αὐτοῦ βρόχους διαφυγεῖν. ἦν δὲ ὁ ἔμπορος τὴν ὅρασιν γλαυκόφθαλμος· ἔτυχε δὲ εἶναι καὶ τὸν ἕνα ἀπὸ τῶν τριῶν μίμων ἐκείνων μονόφθαλμον, γλαυκὸν δὲ τὸν ἕνα αὐτοῦ κεκτη-
p. 130 μένον ὀφθαλμόν. κἀκεῖνος δὲ ἀναστὰς ἐπελά|βετο ἰσχυρῶς τοῦ ἐμπόρου λέγων· σὺ τὸν ἕνα μου ἔκλεψας ὀφθαλμόν· διὸ ἀπέλθωμεν πρὸς τὸν κριτὴν τῆς πόλεως, ὅπως αὐτὸς ὁρίσῃ καὶ ἀποδώσῃς μοι τὸν ὀφθαλμὸν ὃν ἔκλεψας. ἤκουσεν ἡ γραῦς ἡ ὑποδεξαμένη τὸν ἔμπορον ὅτι πρὸς τὸν τῆς χώρας ἄρχοντα ἔσυρεν ὁ μῖμος τὸν ἔμπορον. καὶ συναντήσασα τούτοις, εἶπε πρὸς τὸν μῖμον ἡ γραῦς· ἄφες, ἀξιῶ, σήμερον ἐγγυητικῶς τὸν ἔμπορον· καὶ ἐγὼ αὐτὸν αὔριον πρωΐ, ἐὰν ζητήσῃς, παραστήσω σοι. ὁ δὲ μῖμος ὑπακούσας τῇ αἰτήσει κατέλιπε τὸν ἔμπορον. καὶ μετ' αὐτοῦ πρὸς τὸν ἴδιον οἶκον ἦλθε, καὶ λέγει πρὸς αὐτόν· ἐγὼ πάντως πρότερον παρήγγειλά σοι προσέχειν ἀπὸ τῶν ἀνθρώπων τῆς πόλεως, ὅτι ἐπὶ πᾶσι τοῖς ξένοις κακοὶ λίαν φαίνονται καὶ ἄγαν πονηροί, καὶ μηδαμῶς φανερῶς ἐξέλθῃς ποτέ. / σὺ δὲ ἐπεὶ οὐκ ἤκουσάς μου τῆς συμ-

---

1 εὐλογοφανῆ τινα τῷ μίμῳ ἀντίθεσιν προβαλέσθαι C 2 διεκφυγεῖν C ib. τὴν ὅρασιν om. C ib. καὶ] καὶ ὁ μίμος C 3 μίμων ἐκείνων om. C 3 sq. τὸν ἐναβτοῦ κεκτημένος ὀφθαλμῶν A, καὶ αὐτὸν ἔχων C 4 sq. ἀναστὰς—ἐμπόρου] τὸν ἐν αὐτῷ ἐμπόρῳ (eadem ut vid. manu inductum) A 5 ὀφθαλμοῦ· ἐγῶ|μεν A 5 sq. ἀμφότεροι om. B 6 ὅπως] ὡς ἂν C ib. δι' αὐτοῦ] διὰ τοῦτο B 6 sq. τὸν—συληθέντα] ὃν σεσύληκας C 7 μοι CB ib. ἠκόη A ib. καὶ om. B ib. ὑποδεδεγμένη C 9 ἀπερχομένοις AB, ἀπιοῦσι C 10 τὸν AB, τὸν ἄνδρα τοῦτον τὸν C 10 sq. κατὰ — πρωΐαν] ἕωθεν πρωΐ C 11 εἴπερ — αὖθις om. C 11—14 τῇ—προκατήγγειλα] αὐτῆς τῇ αἰτήσει, δέδωκεν αὐτῇ τὸν ἄνθρωπον. ὃν καὶ λαβοῦσα ἡ γραῦς οἴκαδε ἀνεχώρησε. καὶ ἤρξατο κατηγορεῖν αὐτοῦ λέγουσα οὐδέν σοι προπαρήγγειλα C 12 κατέλειπε AB 14 ἀπὸ CB, ὑπὸ A ib. ἐν ταύτῃ C ib. ὅτιπερ A, ἔτι γε C 15 φύσιν] γνώμην C ib. καθεστήκασιν AB, πάντῃ πεφύκασι C ib. μηκέτι A, καὶ μηκέτ' C

16 εὐλοφανεῖ D ib. προβαλέσθω F 20 ὀφθαλμῶν D 21 ἤκουσε δ' ἡ? Ebh. 23 ἐγκυητικῶς F 26 πρότερον] πρώτως D

φανὲς αὐτῶν ἐξέλθῃς τὸ σύνολον. καὶ ἐπεὶ τὸ πρότερον οὐκ ἐπείσθης μου τῇ παραινέσει κἀντεῦθεν εὗρες τὰ τῆς παρακοῆς σου ἐπίχειρα, κἂν γοῦν τανῦν πείσθητί μοι περὶ οὗ σοι συναινέ|σαι βεβούλημαι. [A f. 288] γνωρίζω γάρ σοι ὡς οἱ τοιοῦτοι μῖμοι ἔχουσί τινα καθηγητὴν γηραιόν, ὃς καὶ τοῖς τῆς πονηρίας πλεονεκτήμασι μάλα τῶν ἄλλων διαφέρει καὶ ὑπερτερεῖ. ὅθεν καὶ πάντες οἱ μῖμοι καθ' ἑκάστην ἑσπέραν παρ' αὐτὸν ὡς καθηγητὴν προσφοιτῶσιν καὶ αὐτῷ τὰ ἑκάστῳ δι' ὅλης τῆς ἡμέρας εἰρημένα καὶ πεπραγμένα λεπτομερῶς ἀπαγγέλλουσι. νῦν οὖν ἄκουσόν μου τῆς λυσιτελοῦς συμβουλίας, καὶ ἀναστὰς ἄμειψόν σου τὸ σχῆμα καὶ σαυτὸν ὡς ἕνα τῶν μίμων ἐκείνων ἀμφίασον καὶ σχημάτισον. εἶτα ἀπελθὼν λάθρα ἐγκαταμίγηθι τῇ αὐτῶν ὁμηγύρει· πλὴν ὅρα μὴ φωραθῇς ὑπ' αὐτῶν· συμπορεύθητί τε αὐτοῖς πρὸς τὸν αὐτῶν καθηγητήν, καὶ πλησίον στὰς ἐκείνου, ἐν τῷ λεληθό|τι [B f. 104] ὥσπερ τις τῶν τυχόντων καὶ κοινῶν τῆς πόλεως ἀνδρῶν ἄκουσον ὧνπερ αὐτῷ ἀναγγελοῦσιν οἱ ὡμιληκότες σοι καὶ ὧν ἐκεῖνος πρὸς αὐτοὺς ἀποκριθήσεται. καὶ πᾶν εἴ τι αὐτοῖς παρὰ τοῦ κα-

RETRACTATIO.

βουλῆς, εὗρες καὶ τῆς παρακοῆς τὰς ἀντιμισθίας. καὶ νῦν ἄκουσόν μου ἀρτίως περὶ ὧν συμβουλεῦσαί σοι θέλω, ἐπεὶ τὰ πρῶτα ἐσφάλης. |[p. 131] γνωρίζω γάρ σοι ὡς οἱ τοιοῦτοι μῖμοι ἔχουσί τινα καθηγητὴν καὶ διδάσκαλον, ὅστις τῇ πονηρίᾳ τῶν ἄλλων πάντων ὑπερέχει καὶ νικᾷ ἅπαντας. πρὸς αὐτὸν γοῦν ὡς διδάσκαλον πάντες οἱ μῖμοι καθ' ἑκάστην ἑσπέραν πορεύονται καὶ ἀπαγγέλλουσιν ἅπερ ἕκαστος δι' ὅλης τῆς ἡμέρας εἶπε καὶ ἔπραξε. νῦν οὖν ἐάσας πάντα, ἐπάκουσόν μου τῆς ὠφελήμου ταύτης συμβουλῆς· ἐγερθεὶς ἄλλαξόν σου τὸ σχῆμα καὶ τὸν ἑαυτόν σου ποίησον ὡς ἕνα τῶν μίμων, φορέσας καὶ ἱμάτια ὅμοια. εἶτα κρυφίως ἀπελθὼν σμίξον σαυτὸν τῇ ἐκείνων συντροφίᾳ· πλὴν πρόσεχε ἵνα μὴ γνωσθῇς ὑπ' αὐτῶν· συμπορεύθητι γοῦν πρὸς τὸν διδάσκαλον αὐτῶν καὶ στῆθι ἐκεῖ πλησίον που ὡς εἷς τῶν τυχόντων καὶ κοινῶν τῆς πόλεως καὶ ἄκουσον ὅσα ἀπαγγελοῦσιν αὐτῷ οἱ μετὰ σοῦ ὁμιλήσαντες καὶ ὅσα ἐκεῖνος πάλιν αὐτοῖς ἀποκριθήσεται. καὶ πᾶν ὅτι αὐτοῖς παρὰ τοῦ διδασκάλου λαληθή-

---

1 αὐτῶν ἐξέλθεις B, αὐτὸν εξέλθεις A, αὐτοῖς διεξέλθοις C ib. τοσύνολον C ib. καὶ ἐπεὶ] ἐπεὶ δὲ C ib. επίσθη A, ἐπίστης B 1 sq. τῇ παραινέσει μου C 2 εὕρης B ib. κἂν γουν τανῆν A, ἤδη γε νῦν C 3 πίσθητί μοι AB, μοι πείσθητι C ib. συναινέσαι] συνθέσθαι C ib. βεβούλοιμαι B, μεβοῦλημαι A 5 μᾶλλα A 6 in marg. χγ C ib. πρόσφητῶσιν A, προσφῦτῶσι B, προσφοιτῶσι C 7 διόλης C ib. ἡρημένα A 7 sq. ἀπαγγελοῦσι A 9 ἑαυτόν C 10 εἶται A ib. ἀπελθῶν λάθρα (ex λαθρά factum) ἐγκαταμίγηθι A, λάθρα διελθὼν ἐγκατάμιξον σεαυτὸν C 11 φωραθὴς A, φοραθεὶς B ib. συμπορευθήτι A, συνπορεύθητι B ib. αὐτοῖς om. B ib. πρὸς τῶν αὐτὸν καθηγητὴν A, πρὸς τὸν ἑαυτοῖς καθηγητὴν B, ἕως τοῦ καθηγητοῦ C 12 πλησίον αὐτῷ στὰς C, παραστὰς ἐκείνου B ib. ἐν τῶ λελυθῶτι ὥσπερ B, λεληθότως οἷά C 13 ὧνπερ A, περὶ ὧν C ib. ἀπαγγελοῦσιν C ib. ὁμιληκῶτες B, ὁμιληκότες C ib. σοι om. B 14 πρὸς αὐτοὺς AB, αὐτοῖς C ib. πᾶν εἴ τι] εἴ τι ἄρα C 14 sq. αὐτοῖς παρὰ τοῦ καθηγήτου B, παρ' αὐτοῦ αὐτοῖς C

16 «post οἱ in F τοῦ ab eadem manu deletum» Ebh. 17 in marg. ἐνταῦθα ὅρα F 18 πρὸς om. EF 20 ἔπραξεν D ib. ἄκουσόν D ib. ὠφελήμου EF, φελῆμου D, ὠφελίμου Boiss.

θηγητοῦ λαληθήσεται σημείωσον ἐν τῇ διανοίᾳ σου, ὡς ἂν τὰς πρὸς ἐκείνους αὐτοῦ ἀποκρίσεις τοῖς πολεμοῦσί σε ἀντιπροθέμενος, κατὰ κράτος αὐτῶν τῆς πανουργίας περιγένοιο. καί σοι ἐντεῦθεν μέγιστον προσγενήσεται κέρδος. ὁ δὲ ἔμπορος ἐποίησεν ὡς παρὰ τῆς γραὸς ἐξεδίδακτο. καὶ μετὰ τὸ ἀμεῖψαι τὸ αὐτοῦ σχῆμα στὰς ἔγγιστα τοῦ γηραιοῦ ἐκείνου, πρῶτα μὲν ἑωράκει πρὸς αὐτὸν παραγεγονότα τὸν τὰ ἀρωματικὰ ξύλα ὠνησάμενον, ὃς καὶ ἀπήγγειλε τῷ καθηγητῇ λέγων ὡς· ἔγωγε συναντήσας τινὶ ἐμπόρῳ ξύλα εἰς διάπρασιν ἀρωματικὰ διακομίζοντι, πάντα τὸν αὐτοῦ φόρτον ἐξωνησάμην· πλὴν περὶ τῆς τῶν ὠνηθέντων τιμῆς συμπεφώνηκα δοῦναι αὐτῷ πίνακα πεπληρωμένον ὧν ἂν δόξῃ αὐτῷ ἐπιζητῆσαι παρ' ἐμοῦ εἰδῶν. ὁ δὲ καθηγητὴς ἀπεκρίνατο πρὸς αὐτὸν λέγων· καὶ τίνα ἐστὶν τὰ παρὰ σοῦ συμφωνηθέντα; ἆρά γε χρυσὸς ἢ ἄργυρος; ὁ δὲ μῖμος ἐκεῖνος, οὐχί, φησί, κύριε μου, ἀλλ' εἴδη ἀνώνυμα, ἅπερ ἐκεῖνος βουληθείη ἐπιζητῆσαι, πίνακα πεπληρωμένον. ἔφη δὲ πρὸς αὐτὸν ὁ κα-

RETRACTATIO.

p. 132 σεται ἐν τῇ διανοίᾳ σου σημείωσον,|ἵνα ἔχῃς ὅσα ἐκεῖνος ἀποκριθῇ πρὸς αὐτοὺς εἰς ἀντίθεσιν τῶν ἐχθρῶν τῶν πολεμούντων σε, καὶ μετὰ δυνάμεως πολλῆς νικήσῃς τὴν πονηρίαν αὐτῶν. καὶ σοὶ ἀπὸ τούτου τοῦ τρόπου μέγα σοι προσγενήσεται κέρδος. ὁ δὲ ἔμπορος ἐποίησεν ὡς παρὰ τῆς γραὸς ἐδιδάχθηκεν. ὅθεν καὶ μετήλλαξε τὸ ἑαυτοῦ σχῆμα καὶ ἀπελθὼν ἔστη ἔγγιστα τοῦ γηραιοῦ ἐκείνου. καὶ πρῶτα μὲν ἑωράκει ἐλθόντα πρὸς αὐτὸν ἐκεῖνον τὸν ἀγοράσαντα τὰ ξύλα τῶν ἀρωμάτων, ὅστις ἀπήγγειλε τῷ καθηγητῇ λέγων· ἐγὼ συνήντησά τινι ἐμπόρῳ ξύλα πωλοῦντι τῶν ἀρωμάτων, καὶ τὸν φόρτον αὐτοῦ ἅπαντα ἠγόρασα, συμφωνήσας δοῦναι αὐτῷ διὰ τὴν τιμὴν τῶν ξύλων πίνακα γεμάτον ἐκ τῶν εἰδῶν τῶν παρ' ἡμῖν, ὧν ἂν ἐπιζητήσῃ. ὁ δὲ διδάσκαλος ἠρώτησε· τίνα γέ εἰσι τὰ παρὰ σοῦ συμφωνηθέντα; ἆρά γε χρυσὸς ἢ ἄργυρος; ὁ δὲ μῖμος, οὐχί, φησί, κύριέ μου, ἀλλὰ εἴδη ἀνώνυμα, ἅπερ ἐκεῖνος ἐθελήσει
p. 133 ζητῆ|σαι, πίνακα πεπληρωμένον. ἔφη πρὸς αὐτὸν ὁ διδάσκαλος· μεγάλως ἔσφαλες τὸν

---

2 σε] σοι C ib. καταχράτος C, κατα χράτὸς A 3 περιγε' (ν supra) B, γένοιο C ib. μέγιστον ἐντεῦθεν προσγενήσαιτο C ib. δ' C 4 ὡς παρὰ] ὅσα πρὸς C ib. καὶ supra versum A ib. μετὰ τὸ ἀμεῖψαι] μετ' ἀμεῖψε B 6 παραγενόμενον C ib. τὰ—ξύλα] τὰ αὐτοῦ ξύλα τοῦ ἀρώματος C ib. ἀπήγγήλε A pr., ἀπήγγελε B, ἀνήγγειλε C 7 λέγων ὡς ἔγωγε] ἐκείνῳ λέγων ἐγὼ C 7 sq. ἐμπόρῳ τινὶ ξύλα ἀρωματικά τινα διακομίζοντι εἰς διάπρασιν C 8 φόρτον αὐτοῦ C 8 sq. πλὴν—πίνακα] δοὺς αὐτῷ ὃ συμπεφώνηκα, ἤτοι πίνακα C 9 συνπεφωνῆκα A ib. πεπληρωμένων A ib. ὧν A, ὃν B 10 δόξει B, δόξοιεν C ib. εἰδῶν] πραγμάτων C ib. ἀπεκρίθη B 10 sq. πρὸς αὐτῶν A, πρὸς ἑαυτὸν B, αὐτῷ C 11 τίνα] τίνα γε ἄρα C ib. τὰ—συνφωνηθέντα (sic A)] ἃ συνεφώνησας αὐτῷ δοῦναι C ib. ἄρα γε B, om. C ib. ἢ A, om. C 12 ἐκεῖνος om. C ib. τούτων ουδέν post μου inscrit C ib. ἀλλ'ἤδει ἀνόνημα A 13 ἐκεῖνος] αὐτὸς C ib. ἐπὶζητήσαι A, om. C ib. πίνακος πεπληρωμένου C ib. δὲ om. B

16 καί σοι Boiss., καὶ σὺ DEF 18 in marg. ὁ ἔμπορος μετεσχηματίσθη (μετεσχιμ. F) ὡς ξένος· καὶ ἀκούει τὰς πράξεις ἃς ποιοῦσιν οἱ κακοὶ διαβολεῖς καὶ ἄδικοι καὶ (καὶ om. D) πλάνοι καὶ πολύτροποι DEF ib. ἔγγιστα (x supra) F, ἔγκιστα DE 20 συνήντησα secundo η mutato in ι F, συνήντισα DE ib. τῷ ἐμπόρῳ τινί D 23 ἠρώτισε F ib. ἄρα «F fere ubique» Ebh.

θηγητής· μεγάλως σεαυτῷ ἐσφάλης. ἔστω γὰρ τυχὸν ὅτιπερ δόξει τῷ ἐμπόρῳ ψύλλους ἀπὸ σοῦ ζητῆσαι καθ' ὅσον ὁ πίναξ χωρήσειεν, ὧν τὸ μὲν ἥμισυ σμῆνος θῆλυ τυγχάνειν, ἄρσεν δὲ τὸ ἕτερον ἥμισυ, ἀλλὰ μὴν ἴσως καὶ γλαυκοειδεῖς τούτους ὑπάρχειν προσαπαιτήσειεν ἀπὸ σοῦ· ἆρά γε σὺ δυνήσῃ τοιαύτην | δόσιν A f. 289 αὐτῷ παρασχεῖν; πῶς ἔσται σοι τοίνυν τῆς αὐτοῦ ὀχλήσεως ἀπαλλαγῆναι; ὁ δὲ μῖμος ὑπολαβὼν λέγει τῷ καθηγητῇ· οὐκ ἐπὶ τοσοῦτον, κύριέ μου, ὁ ἔμπορος ἐκεῖνος σεσόφισται οὐδὲ τοιαῦτα πανουργεύεσθαι ὁ αὐτοῦ νοῦς ἱκανός ἐστιν, ἀλλ', ὡς οἶμαι, εἴτε χρυσὸν εἴτε ἄργυρον ἐξ ἐμοῦ ἐπιζητήσειεν. προσελθὼν δὲ καὶ ὁ τῇ διαλέξει νενικηκὼς τὸν ἔμπορον ἀπήγγειλεν τῷ καθηγητῇ λέγων· κἀγώ, περὶ ὁμιλίας καὶ πλοκῆς λόγων τῷ ἐμπόρῳ ἐκείνῳ συναμιλληθεὶς ἐπὶ αἱρέσει τοῦ τὸν ἡττηθησόμενον παρὰ τοῦ ἑτέρου ἐκπληρῶσαι εἴ τι δὴ καὶ παρὰ τοῦ νενικηκότος ἐπιταχθείη, περιεγενόμην αὐτοῦ ἐν πάσῃ τῇ διαλέξει καὶ εὐθὺς ἐπέτρεψα αὐτῷ καταπιεῖν ἅπαντα τὰ τῆς θαλάσσης ὕδατα. ὁ δὲ καθηγητὴς ἀπεκρίνατο καὶ πρὸς ἐκεῖνον· οὐδὲ σὺ καλῶς ἐποίησας. ἔστω γὰρ ἴσως ὅτιπερ

RETRACTATIO.

ἑαυτόν σου. ἔστω γὰρ τυχόν· ἐὰν δόξῃ τῷ ἐμπόρῳ ζητῆσαι ἀπὸ σοῦ ψύλλας ὅσας ἂν ὁ πίναξ χωρῇ, εἶτα τὸ μὲν ἥμισυ πλῆθος τῶν ψύλλων ἔστω θῆλυ, τὸ δὲ ἕτερον ἥμισυ ἄρσεν, καὶ μὴ μόνον ξανθοὺς εἶναι τοὺς ψύλλους καὶ ὑπομαύρους, ἀλλὰ καὶ γλαυκοειδεῖς, ἆρα δύνασαι τοιαύτην δόσιν δοῦναι αὐτῷ; πῶς γενήσεταί σοι ἐλευθερωθῆναι τῆς ὀχλήσεως αὐτοῦ; καὶ ὁ μῖμος· οὐ τοσοῦτον, ὦ κύριέ μου, ὁ ἔμπορος σεσόφισται οὐδὲ τοιαῦτα πονηρεύεσθαι ὁ αὐτοῦ νοῦς ἱκανός ἐστιν, ἀλλ', ὡς ὑπολαμβάνω, χρυσὸν ἢ ἄργυρον ὁ τοιοῦτος ζητήσει παρ' ἐμοῦ, καὶ οὐκ ἄλλο. προσελθὼν οὖν καὶ ὁ ἐν τῇ διαλέξει νενικηκὼς μῖμος τὸν ἔμπορον ἀπήγγειλε τῷ καθηγητῇ ὡς· ἐγὼ τῷ ἐμπόρῳ τούτῳ συναγωνισάμενος εἰς πόλεμον λόγων, ὅτι οἷος τὸν ἕτερον νικήσει, ἐκπληρεῖν ἅπαντα τὰ ἐπιταχθέντα παρὰ τοῦ νενικηκότος αὐτῷ, λοιπὸν | ἐγὼ νικήσας p. 134 ἐν πάσῃ τῇ διαλέξει, εὐθὺς ἐπέτρεψα αὐτῳ πιεῖν τὰ τῆς θαλάττης ὕδατα. ὅτε καὶ ὁ καθηγητὴς πρὸς ἐκεῖνον ἀπεκρίνατο· οὐδὲ σὺ καλῶς ἐποίησας. ἔσται γὰρ ἴσως

---

1 ἑαυτῷ B, om. C 1—3 ἔστω — ἥμισυ] εἰ γὰρ τετυχήκει τῷ ἐμπόρῳ ἀπὸ σοῦ ζητῆσαι ψύλλους, πίνακα πεπληρωμένον, ὧν τὸ ἥμισυ θηλείας, τὸ δ' ἕτερον ἥμισυ ἄρρενας ἔχειν C 2 ψίλλας B ib. ζητῆσε A, ζητήσοιεν B 3 θύλη τυγχάνων A ib. μὴ B ib. ἴσως om. C 4 τοῦτους A, om. C ib. πρόσαπετήσειεν (προσαπετήσοιεν B) ἀπὸ σοῦ AB, om. C ib. σοι δυνήσοι A, σοῦ δυνήσει B, δυνάμεως σὺ εἶχες C 5 ἔσται—ἀπαλλαγῆναι] εἶχες αὐτὸν διαδρᾶναι C ib. σοι om. B 6 ὑπολαβὼν om. C ib. τῷ καθηγητῇ AB, αὐτῷ C 7 ἐκεῖνος] οὗτος C ib. ὁ νοῦς αὐτοῦ ἱκανός ἐστι B, ἱκανὸς ἦν ὁ νοῦς αὐτοῦ C 8 ἐπιζητήσοιεν B, μέλλει ζητήσασθαι C 9 τὸν ἔμπορον νενιχηκώς C ib. ἀπήγγειλε CB ib. τῷ καθηγητῇ om. C 10 ἐκείνῳ om. CB 10—13 ἐπὶ—ὕδατα] καὶ νικήσας αὐτόν, τέταχα πιεῖν τὰ θαλάττια ὕδατα ἅπαντα. οὕτω γὰρ παρ' ἡμῶν συμπεφώνητο, ὡς ἐπὶ λόγοις τὸν νικηθησόμενον, εἴ τι ἄρα καὶ ἐπιτραπείη πρὸς τοῦ νικήσαντος, δέξασθαι καὶ ποίησασθαι C 11 τοῦ τὸν] τοῦτον AB ib. τι B, τη A 12 αὐτὸν B ib. τῇ om. B 13 ἐπέτρεψα B, ὑπέστρεψα A ib. πάντα B 14 ἀπεκρίνατο πρὸς ἐκεῖνον B καὶ omisso, πρὸς αὐτὸν ἀπεκρίνατο C ib. σὺ AB, σύ γε C ib. ἐποίησας AB, πέπραχας C ib. ὅτιπερ] ὅτι C

16 χωρεῖ F 17 ὑπόμαυρους EF, ὑπὸ μαύρους D 18 λαυκοειδεῖς F 19 ὦ om. DE 23 νικήσῃ D 26 ἔστω ex C Ebh.

ἐκεῖνος ἀντείπῃ σοι ὡς· / ἄπιθι πρότερον καὶ ἀνάστειλον τοὺς τῆς θαλάσσης
ἐπιρρέοντας ποταμούς, καὶ εἰθούτως καταπίομαι τὰ τῆς θαλάσσης ὕδατα, ἅπερ
δὴ καὶ μόνα πεπωκέναι συνεθέμην σοι. εἰ οὖν ταῦτα ὁ ἔμπορος ἀντιλέξει σοι,
ἆρά γε σὺ εὐχερῶς ἕξεις τοὺς ποταμοὺς ἀναχαιτίσαι τῆς ἐν τῇ θαλάσσῃ ἐπιρ-
ροῆς; ὁ δὲ μῖμος, ἀλλ' ἴσθι, φησίν, ὦ κύριέ μου, ὡς οὐκ ἐξικανοῖ ἡ τοῦ ἐμπό-
B f. 105 ρου φρόνησις τὸν τοιοῦτόν μοι ἀν|τιφράσαι ἀπόλογον. εἶτα προσελθὼν τῷ κα-
θηγητῇ καὶ ὁ μονόφθαλμος μῖμος φησὶ καὶ οὗτος αὐτῷ· σήμερον, κύριέ μου,
ἑώρακα ἐν τῇ ἀγορᾷ ἄνδρα τινὰ ἔμπορον ξένον, ὃς ἦν γλαυκοειδεῖς τοὺς αὐτοῦ
κεκτημένος ὀφθαλμούς. καὶ τοῦτον κατασχὼν εἰρήκειν αὐτῷ ὡς· σύ τε κἀγὼ
γλαυκοὶ τυγχάνομεν, καὶ σύ μου τὸν ἕνα ἐσύλησας ὀφθαλμόν· λοιπὸν οὖν οὐ-
δαμῶς σου απόσχωμαι, ἕως ἂν εἴτε τὸν ἕνα σου ἐξελκύσω ὀφθαλμὸν εἴτε αὐτὸν
διὰ πάσης σου ἀναρρύσῃ τῆς περιουσίας. ὁ δὲ καθηγητής, οὐδὲ σύ τι κατώρθω-

RETRACTATIO.

ἐκεῖνον εἰπεῖν πρὸς σέ· / ἀπελθὼν πρότερον κράτησον τοὺς ἐν τῇ θαλάσσῃ ῥέοντας
ποταμοὺς καὶ τὰς πηγάς, εἶτα ἐγὼ τὰ τῆς θαλάττης ἐκροφήσω ὕδατα, ἅπερ καὶ μόνα
ὑπεσχέθην σοι πεπωκέναι. εἰ οὖν ταῦτα ὁ ἔμπορος ἀντιλέξει σοι, δύναμις ἔστι σοι
τοῦ εὐκόλως ἐμποδίσαι τοὺς ἐν τῇ θαλάσσῃ εἰσρέοντας ποταμοὺς καὶ πηγάς; ὁ δὲ
μῖμος ἔφη· γίνωσκε, κύριέ μου, ὡς οὐκ ἔστι δυνατὴ ἡ τοῦ ἐμπόρου φρόνησις τὴν
τοιαύτην ἀπολογίαν δοῦναι. εἶτα προσελθὼν καὶ ὁ μονόφθαλμος μῖμος φησὶ τῷ κα-
θηγητῇ· σήμερον, κύριέ μου, ἑώρακα ἐν τῇ ἀγορᾷ ἄνδρα τινὰ ἔμπορον ξένον γλαυ-
κοειδεῖς ἔχοντα ὀφθαλμούς. καὶ τοῦτον ἐκράτησα ἰσχυρῶς λέγων· σύ τε κἀγὼ γλαυ-
p. 135 κοὶ ὑπάρχομεν, καὶ σύ μου τὸν ἕνα ἔκλεψας ὀφθαλμόν· λοιπὸν οὖν οὐ|δαμῶς ἀφήσω
σε, εἰ μὴ τὸν ἕνα σου ἐκβάλω ὀφθαλμὸν ἢ σὺ τὸν ἐμὸν ὀφθαλμὸν ἰατρεύσῃς, κἂν
πάντα σου τὸν πλοῦτον ἐξοδιάσῃς. τότε εἶπεν αὐτῷ ὁ καθηγητής· οὐδέ σύ τι κατ-

---

1 ἀντείποι C ib ὡς om. C ib. ἄπειθι B, ἄπηθη A ib. τῇ θαλάσσῃ C 2 ἐπιρέοντας A ib. καὶ εἰθοῦτως A, εἰθ' οὕτω C ib. καταπίωμαι τὰ AB, πίομαι τὸ C ib. θαλάττης C ib. ὕδωρ C ib. ἅπερ] ὃ ft. ex ἃ correctum C 3 μόνον C ib. πεποχέναι B, πεπτωκέναι A ib ταύτα—σοι] οὗτος οὕτω σοι λέξει C 4 ἀναχετῆσαι AB ib. ἐν τῇ θαλάσσῃ] ἀπὸ τῆς θαλάττης C 4 sq. ἐπιρωῆς A 5 ἀλλίσθα A ib. φη̄ compendium A, φησὶ B ib. ὦ κύριἔ μου A, om. C ib. οὐκ ἐξηκανοὶ οἱ A, οὐκ ἐξικανὴ ἡ B, οὐχ ἱκανοῖ ἡ C 6 μοι ἀντιφράσαι A, μοι ἀντιφράσαι μοι C, ἀντιφρᾶσαι B 6–8 προσελθὼν—ἔμπορον] καὶ ὁ μονόφθαλμος μῖμος προσελθὼν ἔφη τῷ γηραιῷ· κἀγὼ ἐν τῇ ἀγορᾷ ἑώρακα, κύριέ μου, ἔμπορόν τινα C 7 οὗτως A 8 γλαυκοήδεῖς A, γλαυκοειδὴς C 8 sq. αυτου κεκτημένους A, om. C 9 ὡς om. C 10 τυγχάνωμεν AB, ἐσμεν ἄμφω C ib. οὖν om. C 11 prius σου om. B ib. ἀπόσχομαι C ib. εἶτε τὸν A, τὸν C ib. ἐξελκήσω B, ἐξελὼν C ib. ὀφθαλμῶν A, ὀφθαλμὸν περιάψω μου τῷ μετώπῳ C ib. εἴτε αὐτὸν A, ἢ C 12 διάπᾶσσησου A, διὰ πάσης B ib. ἀναρρήσει A, ἀναρρύσῃ C, ἀναρρώσσῃς σου B ib. ὁ δὲ καθηγητὴς A, om. B ib. οὖδε A ib. σὺ τί B, σὺ τῇ A, σύ γέ τι C 12 sq. κατόρθωκας A, κατώρθωσας C

13 τῇ F, om. (DE) Boiss. 14 ἐκροφήσω F 15 πεποχέναι F ib. ἔσται? Ebh. 16 εἰσρέοντας F 20 τοὺς ὀφθαλμούς? Ebh. 22 ἰατρεύσεις EF 23 sq. κατόρθωσας DEF, κατώρθωσας Boiss.

κας, ἀπεκρίνατο. εἰ γὰρ δόξει τῷ ἐμπόρῳ ἀντιφράσαι σοι ὅτι· πρότερον εἰς σύστασιν τῆς τοιαύτης σου προτάσεως ἔκβαλόν σου τὸν ἕνα τοῦτον ὃν ἔχεις ὀφθαλμόν, κἀγὼ ἐκβαλῶ θάτερον τῶν ἐμῶν ὀφθαλμῶν, καὶ ἀμφοτέρους σταθμίσωμεν· καὶ εἰ μὲν ἰσόσταθμοι ἀλλήλοις εὑρεθεῖεν, εὔδηλον ὅτι σός ἐστιν ὁ ἐμὸς εἷς ὀφθαλμός, εἰ δέ τις τῶν σταθμιζομένων δύο ὀφθαλμῶν βαρύτερος τοῦ ἑτέρου ἐν τῇ τοῦ ζυγοῦ φανείη πλάστιγγι, οὐχ ὑπάρχει σὸς ὁ θάτερός μου ὀφθαλμός, ἀλλὰ μᾶλλον καὶ ὑπὲρ τῆς αὐτοῦ | ἐκβολῆς ἀξίως εὐθυνθήσῃ· εἰ οὖν ταῦτά σοι A f. 290 ἀντιλέξει ὁ ἔμπορος, οὐχὶ πάντως ἐξ εὐλόγου ἀποπείσει σε τῆς ἀντιθέσεως; καὶ τὸ δὴ χείριστον, ὅτι γε τούτου ἐπὶ σοὶ γενομένου, σὺ μὲν τέλεον ἀποστερηθήσῃ τῆς ὁράσεως καὶ πάντῃ γενήσῃ ἀόμματος, ἐκεῖνος δὲ ἕνα τῶν ἑαυτοῦ ὀφθαλμῶν ἐσύστερον ἔχων, πάλιν τὸ φῶς καθορῶν ἔσται. πρὸς ταῦτα ὁ μονόφθαλμος μῖμος ὑπολαβὼν λέγει τῷ καθηγητῇ· ἀλλ' οὐκ ἐπὶ τοσοῦτον πανοῦργος ὁ ἔμπορος ἐκεῖνος, ὡς τοιαύτην μοι πιθανὴν ἀντιπροθέσθαι ἀπολογίαν. τούτων οὕτω παρά τε τῶν μίμων καὶ τοῦ αὐτῶν καθηγητοῦ λαλουμένων τε καὶ ἀντιφθεγγομένων, ἠκροᾶτο λάθρα παρ' ὅλην νύκτα ὁ ἔμπορος καὶ τῇ ἰδίᾳ

RETRACTATIO.

ὄρθωσας. ἐὰν γὰρ φανῇ τῷ ἐμπόρῳ εἰπεῖν σοι ὅτι· τοῦτο πρῶτον σημεῖόν ἐστι τῆς προτάσεώς σου, ἵνα καὶ τὸν ὀφθαλμὸν ὃν ἔχεις ἐκβάλῃς κἀγὼ τὸν ἕνα μου ὀφθαλμόν, καὶ ἐν ζυγίῳ σταθμίσωμεν, καὶ οὕτως ἡ ἀλήθεια εὑρεθήσεται· εἰ μὲν ἴσος εὑρεθῇ ὁ ἐμὸς ὀφθαλμὸς τῷ σῷ, ἔχε αὐτόν, εἰ δὲ κατά τι ἄνισος, ἢ βαρὺς ἢ ἐλαφρός, τότε ὡς ψευδῆ μου κατηγορήσας καὶ τὸν ἐμὸν ὀφθαλμὸν ἐκβαλὼν εὐθύνας καὶ τιμωρίας καὶ ζημίαν ζητῶν. τί ποιήσεις τότε, ἐὰν οὕτως ὁ ἔμπορος ἀπολογηθήσεται; καὶ τὸ δὴ χεῖρον, ὅτι εἰ τοῦτο ἐπὶ σοὶ γένηται, σὺ μὲν τελείως ἔσῃ τυφλὸς καὶ πάντῃ ἀόμματος, ἐκεῖνος δὲ τὸν ἕνα ὀφθαλμὸν ἔχων, πάλιν τὸ φῶς βλέπων ἔσται. πρὸς ταῦτα ὁ μονόφθαλμος μῖμος ἀπεκρίθη τῷ καθηγητῇ· ἀλλ' | οὐκ ἐπὶ τοσοῦτόν ἐστιν ὁ ἔμπορος πο- p. 136 νηρός, ὥστε τοιαῦτα λόγια ἀντιπαραθεῖναι. ταῦτα οὕτω παρὰ τοῦ καθηγητοῦ καὶ τῶν μίμων λαληθέντων, ὁ ἔμπορος ἠκροᾶτο παρ' ὅλην τὴν νύκτα, φυλάττων αὐτὰ

---

1 ἀπεκρίνατο AB, ἔφη C ib. δόξῃ τὸ ἐμπόρω A, δόξοι αὐτῷ C ib. ὅτι AB, ὡς C 1 sq. εἰσύστασιν A 2 ἔκβαλλόν A, ἔξελέ C 3 κἀγὼ—ἐμῶν] κἀγὼ δ' ὡσαύτως θάτερον τῶν ἐμῶν ἐκβαλῶ C 3 sq. ἀμφοτέρους σταθμήσωμεν AB, ἄμφω σταθμίσωμεν αὐτούς C 4 εὑρηθεῖεν C ib. ὅτι A, ὅτι γε C 6 φανεῖη A, καταφανῇ B ib. οὐχιπάρχει σὸς A, οὔκουν σὸς ἐστιν C 7 ἄλλὰ A ib. εὐθυνθήσοι B, εὐθηνθήσοι A 7 sq. σοι ἀντιλέξῃ A, σοι ἀντιλέξειεν C, ἀντιλέξει σοι B 8 πάντως ἐξευλόγου A, πάντῃ σε C ib. ἀπὸπείσοι σε A, ἀπήσησε B, ἀποπείσει C, ἀπώσει σε? Jernst. 9 γινομένου A 9 sq. ἀπὸστέρηθῆσει A, ἀποστερηθήσει B 10 γεννήσει A ib. ἐκείνος A, οὗτος C 11 ἐσύστερον AB, ὕστερον C 12 τῷ] του A 13 ἐκεῖνος AB, οὗτος C ib. τοιαῦτην A, τοιάνδε C ib. πιθανὴ A 14 αὐτὸν A, αὐτοῦ B 15 λάθρα AB, μάλα καλῶς καὶ λαθραίως C ib. ὅληνύκτα A, ὅλην ἐκείνην τὴν νύκτα C

16 ἔστω? ἔσται? Ebh. 17 «in v. ἵνα desinit in F f. 83, pergitur f. 84 βαλὼν (20): media desunt» Ebh. ib. ἐκβάλλῃς E 19 βαρύτερος ἢ ἐλαφρότερος Ebh. 20 βαλὼν F in folii initio 20 sq. ζημίαν ζητῶ Boiss., ζημίαν μεγίστην ὀφλήσεις Ebh. 21 τότε Boiss., τοῦτο D, τότο EF, τούτῳ? Ebh. 26 αὐτὰ] ταῦτα F

ταῦτα συνετήρει καρδίᾳ. πρωίας δὲ γενομένης παραγίνεται πρὸς τὸν ἔμπορον ὁ τὰ ἀρωματικὰ ξύλα ὠνησάμενος. εἶτα φησὶ πρὸς αὐτὸν ὁ ἔμπορος· ἀπόδος μοι, ἑταῖρε, εἴ τί μοι συνεφώνησας παρασχεῖν ὑπὲρ τοῦ διαπραθέντος σοι φόρτου. ὁ δὲ μῖμος ἔφη πρὸς αὐτόν· ζήτησον εἴ τι καὶ βούλει, κἀγὼ ἑτοίμως παράσχω σοι. ὁ δὲ ἔμπορος ἀπεκρίνατο· θέλω ἵνα μοι δῷς ἐν τῷδε τῷ πίνακι ψύλλους καθ' ὅσον χωρήσειεν, ὧν τὸ μὲν ἥμισυ στῖφος ἄρσεν, θῆλυ δὲ τὸ ἕτερον ἥμισυ, καὶ πάντας γλαυκοειδεῖς κατὰ πᾶσαν τὴν αὐτῶν ἰδέαν. οὕτως εἰπὼν τῷ μίμῳ ὁ ἔμπορος ἰσχυρῶς αὐτὸν διετέλει ἀπαναγκάζων καὶ πολλῇ τῇ βίᾳ πρὸς αὐτὸν κεχρημένος, ἄχρις ἂν ὁ μῖμος καὶ ἄκων ἐδεδώκει αὐτῷ πλείονα ποσότητα τῆς δικαίας τιμῆς τῶν ἀρωματικῶν αὐτοῦ ξύλων, καὶ εἰθούτως μόγις τῶν τούτου ἀπηλλάγη ὀχλήσεων. ἐντυχὼν δὲ καὶ τοῖς ἑτέροις δυσὶ μίμοις, τῷ Bf. 106 τε περὶ τοῦ ὀφθαλμοῦ | διαμαχομένῳ καὶ τῷ τὴν θάλασσαν καταπιεῖν αὐτῷ ἐπιτρέψαντι, ἀπήτει κἀκείνους πεποιηκέναι ἅπερ λάθρα παρὰ τοῦ αὐτῶν καθηγητοῦ ἠκηκόει· καὶ διετέλει ἄγχων κἀκείνους, ἕως ἂν δι' ὅσων δομάτων ὁ ἔμπορος ἐξ αὐτῶν ἠθέλησεν ἀπηλλάγησαν τῶν αὐτοῦ ὀχλήσεων. καὶ νῦν, ὦ δέ-

RETRACTATIO.

ἐν τῇ καρδίᾳ αὐτοῦ. πρωίας δὲ γενομένης παραγίνεται ὁ ἔμπορος πρὸς τὸν ἀγοράσαντα τὰ ξύλα τῶν ἀρωμάτων καὶ φησὶ πρὸς αὐτόν· ἀπόδος μοι, φίλε, εἴ τι συνεβιβάσθημεν περὶ τοῦ φόρτου, οὗ σε ἐπώλησα. ὁ δὲ μῖμος ἔφη· ζήτησον εἴ τι βούλει, κἀγὼ ἑτοίμως ἀποδώσω σοι. ὁ δὲ ἔμπορος ἀποκριθεὶς λέγει· θέλω ἵνα μοι δώσῃς ἐν τῷδε τῷ πίνακι ψύλλας ὅσας χωρεῖ, ἀπ' αὐτῶν δὲ τῶν ψύλλων τὸ ἥμισυ ἄρσεν, τὸ δὲ λοιπὸν ἥμισυ θῆλυ, καὶ μὴ μόνον καὶ ὑπομαύρους εἶναι τὰς ψύλλας, ἀλλὰ καὶ γλαυκοειδεῖς. οὕτως εἰπὼν ὁ ἔμπορος τῷ μίμῳ ἰσχυρῶς ὑπῆρχεν ἀναγκάζων αὐτὸν καὶ βιαζόμενος κατὰ πολύ, ἕως οὗ ὁ μῖμος ἔδωκε τῷ ἐμπόρῳ πλείονα τιμὴν τῆς p. 137 δικαίας τιμῆς τῶν ἀρωματικῶν ξύλων· καὶ τότε μόλις ἀφῆκεν | αὐτὸν τῆς ὀχλήσεως. εὑρὼν δὲ καὶ τοὺς ἄλλους δύο μίμους, τῷ τὸν ὀφθαλμὸν αὐτοῦ ζητοῦντι καὶ τῷ τὴν θάλασσαν ἐκπιεῖν ἐπιτρέψαντι αὐτῷ, ἔπνιγε γοῦν αὐτοὺς ἀναγκάζων ποιῆσαι ὅσα κρυφίως τοῦ διδασκάλου αὐτῶν λέγοντος αὐτοῖς· καὶ τοσοῦτον αὐτοὺς ἔσυρε βιαίως, ἕως οὗ ἔλαβεν ἀπὸ τούτων ὡς νικήσας ὅσα ἠθέλησεν ὁ ἔμπορος· καὶ τότε ἀφῆκεν αὐτούς. καὶ νῦν, ὦ δέσποτα βασιλεῦ, ἐξ ὧν σοι διηγησάμην γίνωσκε ὡς ἐκεῖνοι οἱ

---

1 γενομένης (priore ε ex ι aut ex ο facto) A, γενομένοις B 2 ὠνησάμενος ξύλα C ib. εἶτα AB, καὶ C ib. φησὶν BC ib. πρὸς αὐτὸν om. C 3 ὦ ἑταῖρε C ib. συνεφώνησάς μοι B 4 πρὸς αὐτὸν AB, αὐτῷ C ib. βούλλει A, βούλοιο C ib. ἔτοιμως A 5 δ' CB ib. ἀπεκρίνατο AB, om. C ib. δῶς AC, δός B ib. τῶδε AB, om. C 5 sq. ψίλλας B 6 στίφος AC 7 καταπάσαν A, om. C ib. τὴν ἀβτῶν ειδέαν A, αὐτων τὴν ἰδέαν B, τὴν ἰδέαν αὐτῶν C ib. in marg. κδ C 8 ἀπαναγκαζων A, ὑπαναγκάζων B, ἐπαναγκάζων? Ebh. 10 εἰθ' οὗτος B, οὕτως C ib. μόγις om. C 11 τῶν τοῦτου (τοιούτων B) ἀπηλλάγη AB, ἀπηλλάγη τῶν τουδε C 12 τε om. B 13 ἀπήττει A ib. ἅπερ A, ἃ C 14 ἑῶς ἂν A 15 ἐξ ἀὐτῶν A, ἐπιζητεῖν? ἐξαιτεῖν? ζητεῖν? Jernst. ib. ἀπολαβεῖν καὶ οὕτως post ἠθέλησεν inserit C ib. ἀπηλάγησαν A ib. τῶν αὐτοῦ A, τῶν C, om. B

16 πρωὶ F 21 ὑπόμαυρους EF 23 τιμὴ F 27 ἠκηκόει post αὐτοῖς ex C inserit Ebh.

σποτα βασιλεῦ, ἐξ ὧν σοὶ διηγησάμην γίνωσκε ὡς οἵ τε δύο παῖδες ἐκεῖνοι, ὁ τριετὴς, φημὶ, καὶ ὁ πενταετὴς, περὶ ὧν προειρήκειν σοι, καὶ οὗτος ὁ γηραιὸς καθηγητὴς πολλῇ τῇ γνώσει καὶ τῇ συνέσει κεκόσμηντο· καὶ κατ' ἐκείνους κἀμὲ ὁ ἐμὸς ἀπετέλεσεν διδάσκαλος.

Ὁ δὲ βασιλεὺς ὑπολαβὼν ἔφη τῷ υἱῷ· γνώρισόν μοι, τέκνον, τοιγαροῦν πῶς | A f. 291 ἐν μὲν τοῖς προλαβοῦσι τρισὶν ἔτεσιν οὐ μεμάθηκας τὴν νῦν προσγενομένην σοι λογιότητα, νυνὶ δὲ ἐν μόνοις τοῖς παρελθοῦσιν ἓξ μησὶν ἐπὶ τοσοῦτον ἐσοφίσθης; ὁ δὲ παῖς τῷ βασιλεῖ ἀπεκρίνατο ὡς· τῷ τότε, βασιλεῦ, ἔτι μου νηπιάζοντος, οὐ συνήργουν ἀλλήλαις αἱ προσοῦσαί μοι τοῦ σώματος καὶ τῆς ψυχῆς αἰσθήσεις· οὔτε γάρ μου τὸ σῶμα ἀφήλικος πάντη τυγχάνοντος οὔτε οἱ ὀφθαλμοὶ οὔτε ἡ γλῶττα οὔτε ἡ καρδία ἀλλήλοις συνεκρότουν πρὸς τὴν τῆς διδασκαλίας μάθησιν· οὐδὲ γὰρ δυνατόν ἐστι νηπιόφρονα πεφυκότα εὐχερῶς γνῶσιν ἐκδιδάσκεσθαι, καθότι ἅπαν παιδίον ταῖς παιδιαῖς καὶ τῇ ἀργίᾳ ἐνηδόμενον οὐ προσεκτικῶς τὸν νοῦν περὶ τὴν διδασκαλίαν διατίθεται. κἀγὼ δὴ, ὦ βασιλεῦ, τὸν αὐτὸν τρόπον τῷ τότε τῇ ἡλικίᾳ τε καὶ τῇ διανοίᾳ διακείμενος, οὐδὲν ὅλως τῶν διδασκομένων ἠδυνάμην καρπώσασθαι, ἅτε μὴ τούτοις τὸ παράπαν τὸν ἐμαυτοῦ νοῦν προσερείδων, ἀλλ' ὡς

RETRACTATIO.

δύο παῖδες, ὁ τριετὴς, φημὶ, καὶ ὁ πενταετὴς, περὶ ὧν πρῴην εἶπον τῷ κράτει σου, καὶ οὗτος ὁ γηραιὸς καθηγητὴς πολλῇ τῇ γνώσει καὶ τῇ συνέσει κεκόσμηντο· καὶ ἐμὲ, ὡς νομίζω, κατ' ἐκείνους ὁ ἐμὸς διδάσκαλος ἀπετέλεσεν.

Ὁ δὲ βασιλεὺς ἔφη πρὸς τὸν υἱόν· γνώρισόν μοι λοιπὸν, ὦ υἱὲ, πῶς ἐν τοῖς προλαβοῦσι τρισὶν ἔτεσιν οὐ μεμάθηκας τὴν νῦν προσγινομένην σοι λογιότητα, νῦν δὲ ἐν μόνοις τοῖς ἓξ μησὶν ἐπὶ τοσοῦτον σοφίας ἤρθης; | p. 138 καὶ ὁ παῖς ἀπεκρίνατο· τότε, ὦ βασιλεῦ, νηπίου ὄντος μου, οὐ συνήργουν ἀλλήλαις αἱ ὑπάρχουσαί μου τῆς ψυχῆς καὶ τοῦ σώματος αἰσθήσεις· ἐν ἡλικίᾳ γὰρ παιδὸς ὄντος μου τότε οὔτε οἱ ὀφθαλμοὶ ἢ ἡ γλῶττα οὔτε ὁ νοῦς ἢ ἡ καρδία ἀλλήλοις ἠδύναντο βοηθῆσαι πρὸς τὴν τῶν μαθημάτων διδασκαλίαν· οὐδὲ δυνατόν ἐστιν ἔτι νηπιόφρονα ὄντα εὐκόλως γνῶσιν ἐκδιδάσκεσθαι, καθότι ἅπαν παιδίον τοῖς παιγνίοις καὶ τῇ ἀργίᾳ εὐφραινόμενον οὐ προσέχει τὸν νοῦν ἐν τοῖς μαθήμασι. κἀγὼ, ὦ βασιλεῦ, τὸν ὅμοιον τρόπον τότε τῇ ἡλικίᾳ καὶ τῇ γνώσει τυγχάνων, οὐδὲν ὅλως τῶν διδασκομένων ἠδυνάμην καρπώσασθαι, ἅτε μοι τούτοις τοῖς παιγνίοις τὸν νοῦν μου στερεοῦσιν, ἀλλ' ὡς νηπιώδης

---

1 ὡς] ὅτι C 2 φημὶ AB, om. C ib. προειρήκειν σει A 3 καὶ τῇ — ἐκείνους om. A ib. κεκόσμηνται C 4 ὁ ἐμὸς — διδάσκαλος] ὁ διδάσκαλος ὁ ἐμὸς ἀπετέλεσε διδάσκαλος C ib. ἀπετέλεσε etiam B 5 τοιγαρο̃ A, om. C 6 ταῖς B ib. τῇ B 6 sq. προσγενομένη B 7 λογί|οτητα A 8 τῶ τότε A, τότε B ib. ὦ βασιλεῦ C 9 νηπίαζοντος A ib. συνῆργον C ib. προσοῦσαί μου B 10 πάνυ B 12 οὐδὲ] οὐ B ib. δυνατὸν ABC ib. ἔστι νηπιὄφρονα A, ἐστιν πιόφρονα B, ἔτι νηπιόφρονα C 13 γνῶσιν εὐχερῶς C 15 δὴ] δὲ C ib. τῇ τε ἡλικίᾳ C 17 μὶ A, μοι B ib. προσέρειδον B

19 καθηγητὴς om. F 22 προσγενομένην ex C Ebh. 28 ἀργείᾳ F

νηπιώδης διεσπαρμένον αὐτὸν ἔχων. νυνὶ δὲ ὁ διδάσκαλός μου Συντίπας τὸ νεάζον τῆς ἡλικίας μου περισκοπῶν, οὐκ ἐμβριθῶς με ἐξεδίδασκεν οὐδὲ τοῖς δυσχερέσι κατ' ἀρχὰς λόγοις πρός με ἐχρήσατο, ἵνα μὴ τῷ τῶν δυσχερῶν καὶ δυσλήπτων βάρει ἐξ ἀρχῆς καταπονηθεὶς πάντα τῆς ἐμῆς διανοίας ἀπορρίψω τὰ διδασκόμενα—καὶ γὰρ ᾔδει μου ὁ διδάσκαλος ὅτιπερ, εἰ ἀμέτρως ἐξ ἀρχῆς με ἐκδιδάξειεν, εὐχερῶς εἶχον αὐτοῦ ἀφηνιάσαι καὶ ἀποστῆναι, ἅτε βασιλέως τυγχάνων υἱός—ἀλλὰ κατὰ μικρὸν τοῖς λόγοις με διαρρυθμίζων, οὕτω με δεξιῶς εἰς τὸ τέλειον τῆς φιλοσοφίας ἀνήγαγε. κἀγὼ δὲ τελεωτέρας ἐφαπτόμενος φρονήσεως συνετήρουν ἐν τῇ καρδίᾳ πάντα δὴ τὰ παρ' αὐτοῦ μοι ἐκδιδασκόμενα, καὶ συναγαγὼν τὸν πρῴην μου διασπαρέντα λογισμὸν τά τε ὦτα συντείνας πρὸς ἀκοὴν καὶ τὴν γλῶτταν πρὸς λόγων μελέτην τε καὶ πλοκὴν καὶ τὰς χεῖρας B f. 107 πρὸς διάστιξιν συλλαβῶν, οὕτως ἐπὶ καιρὸν τῶν ἓξ καὶ | μόνων μηνῶν πάντα δὴ τὰ διδαχθέντα μοι ἀκριβέστατα κατέλαβον καὶ ἐν μεθέξει πάσης φιλοσοφίας καὶ συνέσεως γέγονα, συναραμένης πάντως καὶ τῆς θείας δυνάμεως ἐμοί τε καὶ τῇ περὶ ἐμὲ τοῦ μυσταγωγοῦ σπουδῇ.

RETRACTATIO.

τὸν νοῦν εἶχον διακεχωρισμένον. νῦν δὲ ὁ διδάσκαλός μου Συντίπας θεωρῶν τὸ νέον τῆς ἡλικίας μου, οὐ βαρέως καὶ ἀναγκαστῶς με ἐδίδασκεν οὐδὲ τοῖς βαρυτέροις ἐξ p. 139 ἀρχῆς ἤρξατο πρός με μαθήμασιν, ἵνα μὴ νέος ὢν ἐγὼ ἀγανα|κτήσω καὶ βαρυνθῶ διὰ τὸ μὴ κατανοεῖν με τὰ λεγόμενα καὶ ἅπαντα τὰ διδασκόμενα πόρρω τῆς ἐμῆς ἀπορρίψω διανοίας, καὶ ὅτι ἐγίνωσκεν ὁ διδάσκαλός μου ὡς ἐὰν ἐξ ἀρχῆς εἰς μεγάλα καὶ μικρὰ μαθήματα βάλῃ με, εὐκόλως εἶχον ἀλαζονεύσασθαι καὶ ἐκφυγεῖν ἀπ' αὐτοῦ, ἅτε βασιλέως ὑπάρχων υἱός· ἀλλὰ κατὰ μικρὸν προοδοποιῶν ἐν τοῖς λόγοις, οὕτω με πρὸς τὸ τέλειον τῆς ἐπιστήμης τῶν λόγων ἀνέφερε. καὶ ἐγὼ πάλιν τελεωτέρας γεγονὼς τῆς φρονήσεως ἐφύλαττον ἐν τῇ καρδίᾳ πάντα τὰ παρ' αὐτοῦ διδασκόμενα, καὶ συνάξας τὸν πρῴην διεσπαρμένον μου νοῦν καὶ ἀνοίξας πρὸς τὸ ἀκούειν καὶ τὴν γλῶτταν εὔστροφον καταστήσας πρὸς τὴν τῶν λόγων πλοκὴν τῶν μεμελετημένων καὶ τὰς χεῖρας πρὸς τὸν λογισμὸν τῶν λέξεων μεμαθηκὼς ἐξυπηρετεῖν, οὕτως οὖν, ὦ βασιλεῦ θειότατε πάτερ, ἐπὶ τῶν ἓξ μηνῶν τὸν καιρὸν πάντα τὰ διδαχθέντα κατέλαβον ἀκριβέστατα, συμμαχούσης καὶ τῆς θείας δυνάμεως ἡμῖν, μετέλαβον τὴν εἴδησιν ἁπάσης φιλοσοφίας, ὅσον δυνατόν ἐστιν ἀνθρώποις ἡμῖν οὖσι καὶ ἐξ ἀνθρώπων.

---

1 αὐτόν] αὐτὄνον A ib. νυνὶ] ἤδη C ib. σιντίπας A, σϊντύπας B 2 τῆς οἰλικίας μου A, τῆς ἐμῆς ἡλικίας C ib. μου om. C 3 καταρχὰς AC 4 et 5 ἐξαρχῆς AC 4 ἀπορίψω B 6 εὐχερῶς] εὐχερῶς ἂν C ib. αὐτοῦ] ἀπ' αὐτοῦ C ib. ἀφϊνιᾶσαι A, ἀφϊνιᾶσαι B, ἀφηνϊᾶσαι C 7 ἀλα καταμικρόν A ib. διάριθμίζων A, δϊαρϋθμίζων (ϋ ex ϊ facta) C, καταρυθμίζων B 8 τελειωτέρας B 10 τώτε ὦτα C ib. συντείνας] συντήναντες A 11 primum καὶ om. B 12 συλλαβ(ῶν) cum ultimae syllabae compendio C, συλλαβὼν AB ib. χαιρῶν A, τὸν καιρὸν B ib. τὸν ἓξ A ib. δὴ om. B 13 μοι τὰ διδαχθέντα B 14 συναραμένης] καὶ σὺναρμένης B 15 ἐμὲ B, ἐμοῦ A, τοὺ ἐμὲ C ib. τοῦ μυσταγωγοῦ σοῦ B, μυσταγωγοῦντος C

16 τὸνοὺν F 20 ἐγίνωσκεν] ἐδίδασκεν E 21 μικρὰ] μακρὰ Boiss. 25 διεφθαρμένον F ib. νοὺν] νῦν F ib. τὼ ὦτε ante ἀνοίξας adiecit Ebh. ex C 26 prius τῶν om. D 27 μελετημένων (ὁ supra) EF ib. των λογισμων (ὁ supra) F 30 καὶ ante μετέλαβον adiecit Ebh.

Τούτοις ὁ βασιλεὺς τοῖς τοῦ παιδὸς ῥήμασι σφόδρα τὴν καρδίαν ἡσθεὶς εὐχαριστηρίους τῷ θεῷ λόγους|ἀνέπεμπεν, καὶ τὴν τοῦ παιδὸς σύνεσιν καὶ A f. 292 φιλοσοφίαν ἐκθειάζων διετέλει τὰ μέγιστα, καὶ τῷ Συντίπᾳ μεγάλας ὁμολογεῖ τὰς χάριτας. εἶτα κελεύει παραστῆναι αὐτῷ τὴν πονηρὰν ἐκείνην γυναῖκα, ἥτις τὸν αὐτοῦ υἱὸν ἀπολέσαι ἐμηχανᾶτο. καὶ ταύτης παραστάσης λέγει πρὸς αὐτὴν ὁ βασιλεύς· ἀνακάλυψόν μοι, ὦ γύναι, μηδὲν κατὰ φόβον ὑποστειλαμένη, τίνος χάριν τὸν ἐμὸν υἱὸν ἀπολέσαι ἔσπευδες καὶ τίς ἦν ὁ τρόπος τῆς τοιαύτης σου σκεωρίας; ὑπολαβοῦσα δὲ ἡ γυνὴ ἔφη· οἶδας, ὦ κράτιστε βασιλεῦ, ὡς οὐδέν τινι τῶν ἀνθρώπων τῆς ἰδίας ζωῆς καθέστηκεν προσφιλέστερον· κἂν γάρ τις πενίᾳ εἴη συζῶν ἢ καί τινι βιωτικῇ περιπετείᾳ πιέζοιτο, ἀλλ' ὅμως καὶ οὗτος τῆς οἰκείας ζωῆς περιέχεται. ἐγὼ τοίνυν τὸν παῖδά σου τούτου χάριν τῷ σῷ προστάγματι πρὸς ἐμαυτὴν ἔλαβον, ὡς διὰ τὴν τοῦ κράτους σου θεραπείαν καταμόνας παρ' αὐτοῦ διαγνῶναι, ὑπὸ ποίας τῆς αἰτίας ἐπεχόμενος οὐ φθέγγεται. καὶ διετέλουν παντοιοτρόποις πεύσεσι καὶ θωπείαις τοῦτον ὑπερχομένη καὶ τὸ τῆς σιγῆς αὐτοῦ σκληρὸν μειλιχίοις τοῖς λόγοις διαλεαίνουσα, ἄχρις ὅτου παρεσκεύασα τοῦτον ἕνα λόγον μοι ἀποκρί-

RETRACTATIO.

Τούτοις τοῖς λόγοις τοῦ παιδὸς ὁ βασιλεὺς πολλὰ τὴν καρδίαν εὐφρανθεὶς εὐχαριστηρίους λόγους ἀνέπεμπε τῷ θεῷ, καὶ τὴν τοῦ παιδὸς σύνεσιν καὶ φιλοσοφίαν δοξάζων καὶ ἐπαινῶν ὑπῆρχε τὰ μέγιστα, καὶ τῷ φιλοσόφῳ καὶ διδασκάλῳ μεγάλως εὐχαριστῶν ἦν. μετὰ δὲ ταῦτα πάντα κελεύει τὴν πονηρὰν ἐκείνην παραστῆνα γυναῖκα, ἥτις τὸν υἱὸν αὐτοῦ, τοιοῦτον ὄντα, ἐτεχνεύετο φονευθῆναι. ἧς καὶ παραστάσης ὁ βασιλεὺς λέγει αὐτῇ· φανέρωσόν μοι, ὦ γύναι, καὶ μηδὲν διὰ φόβον ὑποκρύψῃς, διὰ ποίαν αἰτίαν τὸν υἱόν μου ἐσπούδαζες φονευθῆναι καὶ τίς ἦν ἡ ἀφορμὴ τῆς τοιαύτης σου κατασκευῆς καὶ μανίας; ἡ δὲ ἀποκριθεῖσα ἔφη· γινώσκεις, ὦ κράτιστε βασιλεῦ, ὡς οὐδέν ἐστι τῶν ἐν κόσμῳ βιούντων ἀγαπητικώτερον ὡς ἡ ζωὴ τοῦ ἀνθρώπου· κἂν γάρ τίς ἐστι πένης ἐπὶ χρόνοις πολλοῖς|ἢ δι' ἀνάγκην τινὰ ἔχασε p. 141 τὰ πράγματα αὐτοῦ ἢ καὶ ἀδίκως ἀναγκάζεται παρά τινος, ἀλλ' ὅμως τῆς ἰδίας ζωῆς φροντίζει. καὶ ἐγὼ λοιπὸν τὸν παῖδά σου διὰ τοῦτο ἔλαβον αὐτὸν κατὰ μόνας μετ' ἐμοῦ, διὰ τὴν τοῦ κράτους σου θεραπείαν, ὅπως κατὰ μόνας δυνηθῶ ἐγνωρίσαι, διὰ ποίαν αἰτίαν οὐ λαλεῖ. καὶ μετὰ ἐρωτήσεων καὶ κολακειῶν ἤμην συντυγχάνουσα αὐτῷ, καὶ λόγους πραεῖς τούτῳ προέτεινα καὶ ἠγαπημένους, ἐμαλάκισα δὲ τὸ στερρὸν αὐτοῦ τῆς σιωπῆς μετὰ τοιούτων λόγων, ἕως οὗ οἰκονόμησα αὐτὸν ἀποκριθῆναί

---

2 ἀνέπεμπε C, ἀνέπεμψε B 3 ἐχθιἄζον A, ἐκθιάζων B ib. σϊντίπα A, σϊντύπα B ib. μεγάλας om. C ib. ὠμολόγει C pr., corr. ὁμολόγει 5 τὸν υἱὸν αὐτοῦ B ib. ἀπωλέσαι C pr., corr. m. sec. ib. παραστησάσης C 8 σχαιωρίας BC 9 καθέστηκε BC 10 περιπέτεια B 11 ἰχίας A, ἰδίας C, sed «in marg. γρ. οἰκείας» (Ebh.) 12 ἑαυτῆν A 13 κράτουσου A ib. τῆς om. C 14 οὐ om. B ib. παντοιοτρόπως B 14 sq. θωπίαις AB 15 μιλιχίοις A, μϊχαλίοις B 16 ὁτοῦ παρασχεύασα A ib. λόγων A

17 in marg. ὁ βασιλεὺς ἀποδεξάμενος μάλα τὸν Συντίπαν φιλόσοφον τὸν τοῦ υἱοῦ διδάσκαλον, ἐπευφραίνεται (ἐπευφραί^{ντ} F, ἐπευφραίνετο (DE) Boiss.) λίαν ταῖς τοῦ παιδὸς εὐκαίροις ἀπολογίαις DEF 25 ἀγαπητικότερον F, ἀγαπητικότως D 26 ἐχάσε F 31 ἐμαλάκησα F

νασθαι. ὃν δὴ καὶ ὀργίλως καὶ ἀποτόμως φθεγξάμενος εἰρήκει πρός με ὡς· οὐδέν σοι, γύναι, τό γε νῦν ἔχον ἀποκριθήσομαι, ἄχρις ὅτου ἑπτὰ ἡμέραι τὸ ἀπὸ τοῦδε παρέλθωσιν, καὶ εἰθούτως κατ' ἀξίαν σοι ἀπολογήσομαι. ἐγὼ δὲ τούτῳ τῷ λόγῳ σφόδρα ἐκθροηθεῖσα καὶ περιδεὴς λίαν καταστᾶσα καὶ κινδύνῳ παρὰ τοῦ παιδὸς ὑποβληθῆναι ὑφορωμένη, συνεῖδον μηχανικῶς τὸν ἐξ αὐτοῦ διαφυγεῖν ὄλεθρον, κἀντεῦθεν ὑπὸ σατανικῆς ἐνεργείας παρορμηθεῖσα κατεψευσάμην τοῦ παιδός σου καὶ δολερῶς αὐτοῦ ἐπὶ τοῦ κράτους σου κατηγόρησα. καὶ τὸ ἁμαρτηθέν μοι ἐπίσταμαι καὶ φανερῶς τοῦτο καθομολογῶ μὴ κατά τι τόδε ἀπαρνουμένη. τὸ λοιπόν, ὦ μέγιστε βασιλεῦ, τὰ δοκοῦντά σοι πρᾶξον ἐπ' ἐμοί, καθὼς ἂν εὐδοκήσειε τὸ θεοκυβέρνητον κράτος σου. ὁ δὲ βασιλεὺς ἐμβλέψας τοῖς παρισταμένοις μεγιστᾶσιν αὐτοῦ, λέγει πρὸς αὐτούς· ὁποίαν ὑμεῖς παρέχετε βουλὴν
B f. 108 τῇ βασιλείᾳ μου|περὶ τοῦ τοιούτου πράγματος, καὶ ὁποίας ἡ γυνὴ αὕτη τῆς τιμωρίας ἀξία πέφυκεν; εἷς δὲ τῶν μεγιστάνων ὑπολαβὼν λέγει τῷ βασιλεῖ· δίκαιόν ἐστιν, ὦ βασιλεῦ, χεῖρας καὶ πόδας τῆς γυναικὸς ταύτης ἀποτμηθῆναι. ἕτερος
A f. 293 δὲ|ἀπεκρίνατο λέγων· οὐχ οὕτως ἔχει τὸ δίκαιον ὡς σὺ λέγεις, ἀλλὰ προσήκει

RETRACTATIO.

μοι κἂν ἕνα λόγον. καὶ ἀπεκρίθην εἰπών μοι· νῦν οὐκ ἀποκρίνομαι, ἕως οὗ ἀπὸ τῆς σήμερον ἑπτὰ ἡμέραι παρέλθωσι, καὶ ὕστερον ὡς ἔνι δίκαιον ἀπολογήσομαι. ἐγὼ τοίνυν τῷ λόγῳ τούτῳ διαταραχθεῖσα καὶ περίφοβος λίαν ὅτι μάλιστα γενομένη, ὅτι εἰ ὁ παῖς λαλήσει, ἀπαγγελεῖ σου τῷ κράτει ὅσα ὑπὸ σατανικῆς ἐνεργείας παρα-
p. 142 κινηθεῖσα κατεῖπον καὶ παρεκίνησα τοῦτον, καὶ πανούργως ἐπὶ τοῦ|κράτους σου κατηγόρησα. καὶ τὸ σφάλμα μου γινώσκω καὶ φανερῶς τὸ πταῖσμά μου καθομολογῶ καὶ εἰς οὐδένα λόγον ἀρνοῦμαι τοῦτο. λοιπόν, ὦ μέγιστε βασιλεῦ, ὅ σοι φαίνεται ποίησον εἰς ἐμέ, ὡς ἂν ὁρίσῃ τὸ εὔσπλαγχνον καὶ θεοπρόβλητον κράτος σου. ἐπὶ τούτοις ὁ βασιλεὺς ἀναβλέψας καὶ ἰδὼν τοῖς μεγιστᾶσιν αὐτοῦ καὶ χιλιάρχοις, εἶπεν αὐτοῖς· τίνα βουλὴν δίδετε ὑμεῖς ἐμοὶ περὶ τῆς γυναικὸς ταύτης, ὅπερ ἐποίησε πονηρὸν ἔργον, καὶ ποίαν τιμωρίαν ἐστὶν ἄξιον αὐτῇ διδόναι; εἷς δέ τις τῶν μεγιστάνων λέγει αὐτῷ· δίκαιόν ἐστιν, ὦ βασιλεῦ, χεῖρας καὶ πόδας τῆς γυναικὸς ἀποτμηθῆναι. ἕτερος δὲ ἀπεκρίνατο· οὐχ οὕτως ἔχει τὸ δίκαιον, ἀλλὰ ζώσης αὐτῆς ἐξορυχθῆναι

---

1 ὡς om. B 2 δέν A, οὐδέν BC 2 sq. τοαποτοῦδε C 3 παρέλθωσι B, παρέλθοιεν C ib. καὶ om. C ib. καταξίαν AB ib. τοῦτο A 4 περιδεῆς AB ib. κυνδύνω A, κίνδυνον B 5 ὑπὸβληθῦναι A, ἐκβληθεῖναι B ib. ὑφορωμένη C pr., mutata l. ο in ω m. sec. 6 παρορμηθῆσα AB ib. κετεψευσάμην B 7 τοῦ κράτουσου A, τῷ κράτει σου B 7 sq. ἁμαρτέν B 8 τοῦτω B ib. μὴ om. AB, οὐ? Jernst. ib. τῶδε B, om. C 9 in marg. κε C ib. τὸ λοιπὸν AB, σὺ δ' C ib. τὰ δοκοῦντασσοι πράξον ἐ|πε μοὶ A, ἐπ' ἐμοὶ τὰ δοκοῦντά σοι πρᾶξον C 10 εὐδοκήσηε A, εὐδοκῆεν B 11 παρέχεται AB 12 τοῦ om. A ib. αὔτη A, ἄτη B 13 ἀξία πέφηκεν A, ἐπαξία πέφυκεν B, εἴη ἀξία C 14 τῆς γηναικὸς ταύτης A, om. C qui post ἀποτμηθῆναι inscrit αὐτῆς 15 ἀπεκρίνατο λέγων om. C ib. ἔχη B, εὖ ἔχει C, ἔσται A ib. τὸ δίκαιον (τῷ δικαίω B) ὡς σὺ λέγεις AB, φησί μοι τὸ δίκαιον C

ζώσης αὐτῆς ἐξορυχθῆναι τὴν καρδίαν. ἕτερος δὲ πάλιν τῶν μεγιστάνων ἔφη· τὴν γλῶτταν αὐτῆς ἐκκοπῆναι χρεών ἐστιν. ἡ δὲ γυνὴ τῶν τοιούτων ἀκροωμένη ἀποφάσεων καὶ οἵας περὶ αὐτῆς τῷ βασιλεῖ τὰς τιμωρίας ὑποτιθέασιν, τοιοῦτόν τινα μῦθον πρὸς ἐκείνους ἀπεφθέγξατο·

Ἔοικεν, ὦ μεγιστᾶνες, λέγουσα, τά τε παρ' ὑμῶν ἀποφαινόμενα κατ' ἐμὲ παράδειγμά τινος ἀλώπεκος, ἥτις νυκτὸς εἴς τινα πόλιν εἰσήρχετο. ἦν δὲ ἡ αὐτῆς εἰσέλευσις διὰ θυρίδος οἰκίσκου γινομένη ἀνδρός τινος σκυτέως· ὁσάκις δὲ δι' αὐτῆς τὴν ἐκείνου οἰκίαν εἰσήρχετο, τὰ τούτου κατήσθιεν δέρματα. εἶτα ὁ σκυτεὺς ἐκεῖνος ἑωρακὼς τὰ γεγονότα ἐν τοῖς αὐτοῦ δέρμασι σπαράγματα, εὐθὺς αὐτῇ παγίδα ἰσχυροτάτην ἵστησιν. ἡ δὲ ἀλώπηξ μετὰ ταῦτα κατὰ τὸ αὐτῆς σύνηθες εἰσερχομένη δι' ἐκείνης πάλιν τῆς θυρίδος, παραχρῆμα τῇ παγίδι συλλαμβάνεται. πονηρὰ δὲ ἡ κερδὼ καὶ ποικιλότροπος τυγχάνουσα, διά τινος εὐμεθόδου μηχανῆς τὴν περιέχουσαν αὐτὴν παγίδα διέφυγε, καὶ περιήρχετο πᾶσαν ἐκείνην τὴν πόλιν τοῦ ἐντυχεῖν τινι ἑτέρᾳ θυρίδι, δι' ἧς δυνηθείη ἐξελθεῖν τῆς πόλεως.. πανταχόθεν περιτετείχιστο, καὶ παρ' ὅλην τὴν νύκτα κοπιά-

RETRACTATIO.

τὴν καρδίαν. ἄλλος δὲ τῶν μεγιστάνων ἔφη· τὴν γλῶτταν αὐτῆς ἐκκοπῆναι πρέπον ἐστί. καὶ ἡ γυνὴ τῶν τοιούτων ἀκούσασα ἀποφάσεων καὶ οἵας τιμωρίας ἀξίαν ἀποφαίνονται ταύτην, τοιοῦτόν τινα μῦθον πρὸς ἐκείνους ἀπεφθέγξατο· |

Ὦ μεγιστᾶνες, φαίνονται τὰ παρ' ὑμῶν λεγόμενα κατ' ἐμοῦ πρὸς παράδειγμά p. 143 τινος ἀλώπεκος, ἥτις διὰ πάσης νυκτὸς εἴς τινα πόλιν εἰσήρχετο. καὶ ἦν ἡ ταύτης εἰσέλευσις διὰ θυρίδος τινὸς ἀνθρώπου δέρματα ἐργαζομένου· καὶ ὅσας φορὰς εἰσήρχετο εἰς τὸν οἶκον τοῦ ἀνδρὸς ἐκείνου, ἔτρωγε τὰ ἐκείνου δέρματα. εἶτα ὁ ἐργαστὴς ἐκεῖνος ἰδὼν ὅσα σχίσματα ἐποίει, ὁ ἐργαστὴς ἐκεῖνος ἐξετάσας διὰ τῆς ἀλώπεκος, εὐθὺς κατ' αὐτῆς παγίδα στερεὰν ἔστησε. καὶ ἡ ἀλώπηξ κατὰ τὴν συνήθειαν βουληθεῖσα εἰσελθεῖν διὰ τῆς θυρίδος, ἐκρατήθη εἰς τὴν παγίδα. πονηρὰ δὲ οὖσα ἡ ἀλώπηξ καὶ πολύτροπος, διά τινος εὐτέχνου μηχανῆς τὴν κρατήσασαν αὐτὴν παγίδα διέφυγε, καὶ περιεπάτει κύκλῳ ἐκείνην τὴν πόλιν τοῦ εὑρεῖν ἄλλην τινὰ θυρίδα, ὅπως δυνηθῇ ἐξελθεῖν τῆς πόλεως. ὡς δὲ δι' ὅλης τῆς νυκτὸς περιπατοῦσα οὐχ εὗρε τόπον τοῦ

---

1 ἐ]ξωρϋχθῆναι A, ἐξωρυχθῆναι B ib. ἕτερος A, ἄλλος C ib. τῶν μεγιστάνων ἔφη AB, αὐτῶν ἀντέφη C 2 χρεών ἐστιν om. C 2 sq. ἀκροούμένη A, ἀκρουομένη B 3 ὑποτιθέασι BC 4 τοιοῦτόν τινα μῦθον] τοιόνδε μῦθον τινὰ C ib. ἀπὸφθέγξατο A pr., corr. ἀπὲφθέγξατο, ἀποφθέγξατο B, ἐφθέγξατο C 5 Οικεν A, Εοικεν C ib. μεγιστάνες AB ib. τατε A, τά τε CB ib. ἡμῶν AB ib. κατεμὲ A, καθ' ἐμὲ B, κατ' ἐμοῦ C 6 παράδειγμά τινος (τῖνὸς A) ἀλώπεχος AB, παραδείγματι ἀλωπεχός τινος C ib. ἥτις] ἧς τῆς B 7 γενομένη B ib. τῖνὸς κυτέωσ' A 8 τούτου AB, τοῦδε C ib. κατῖσθηεν A, κατήσθιε BC 10 ἵστησι B 11 αὐτῇ C ib. πάλιν δι' ἐκείνης B 12 ποικιλοτρόπως B ib. τυγχάνουσα AB, οὖσα C 13 διέφυγεν B 14 πᾶσαν ἐκείνην AB, ἀνὰ πᾶσαν C ib. τινα ἑτέρα θυρίδα B ib. ἐξελθεῖν AB, ἐξιέναι C 15 ἡ δὲ post πόλεως inserit C ib. περιτετυχῖστο A, τετείχιστο CB ib. νύκταν A

19 lemma codicum: μῦθος τῆς πονηρᾶς γυναικός 22 ἐραστὴς E 23 verbis ὁ ἐργαστὴς ἐκεῖνος seclusis γίνεσθαι post ἐξετάσας inseruit Ebh.

σασα οὐδόλως τινὰ ἔξοδον εὑρηκέναι ἴσχυσε. τῆς δέ γε ἡμέρας διαυγαζούσης διελογίσατο καθ' ἑαυτὴν καὶ εἶπεν ὡς· εἴπερ ἡ ἡμέρα ἐπιστῇ, πάντως ὑπὸ τῶν κυνῶν θεαθήσομαι, καὶ οὐ πρότερόν μου ἀπόσχωνται, μέχρις ἂν μου τὰς σάρκας διαμερίσονται. ἀλλ' ἔγωγε οἶδα τί με δεῖ πεποιηκέναι. καὶ ταῦτα εἰποῦσα πορεύεται ἐπὶ τὴν πύλην τῆς πόλεως, καὶ αὐτὴν ἐγγὺς τῆς φλιᾶς ἔσωθεν ἐκτανύσασα προσεποιεῖτο νεκρὰ καὶ ἄπνους τυγχάνειν· τούτῳ δὲ τῷ τρόπῳ ἐχρήσατο, προσμένουσα διανοιγῆναι τὴν πύλην καὶ εὐθὺς ἑαυτὴν ἀθρόον δι' αὐτῆς φυγάδα ἐξαγαγεῖν καὶ τοῦ ὑφορωμένου ἀπαλλαγῆναι κινδύνου. οὕτω δὲ αὐτῆς ὡς νεκρᾶς ἀναπεσούσης καὶ τῆς πύλης ὑπὸ τὴν ἕω συνήθως διανοιγομένης, ἑωράκει τις ταύτην καὶ πρὸς ἑαυτὸν εἰρήκει· ὄντως ἡ κέρκος τῆς ἀλώπεκος ταύτης λίαν ἐστὶν χρησιμεύουσα εἰς ἕτοιμον σπόγγον μυλικοῦ ἐργαστηρίου. καὶ τοῦτο εἰπών, εὐθὺς τὴν ἑαυτοῦ σπασάμενος μάχαιραν, ἀπέτεμεν
A f. 294 αὐτήν. ἡ δὲ ἀλώπηξ τῆς οὐρᾶς|αὐτῆς ἀποτμηθείσης σιωπῶσα γενναίως ὑπή|-
B f. 109 νεγκεν. εἶτά τις ἕτερος παρερχόμενος καὶ ταύτην ἑωρακὼς ἔλεγεν καὶ οὗτος· ἀκοῇ ἀκήκοα ὡς εἴπερ τις τῶν νηπιαζόντων παίδων ἐπὶ πολὺ διατελοίη κλαυθμυ-

RETRACTATIO.

ἐκβῆναι, ἐπεὶ κύκλῳ τετειχισμένη ἡ πόλις ἦν, καὶ τῆς ἡμέρας ἐγγιζούσης ἔλεγεν ἐν
p. 144 ἑαυτῇ· ἐὰν|ἡμέρα γένηται, πάντως ὑπὸ τῶν σκύλων κρατηθήσομαι, καὶ οὐκ ἐάσουσί με πρότερον, εἰ μὴ τὰς σάρκας μου διαρρήξουσιν. ἀλλ' ἐγὼ γινώσκω τί με δεῖ ποιῆσαι. καὶ δὴ πορεύεται ἐπὶ τὴν πύλην τῆς πόλεως καὶ ἑαυτὴν πλησίον που τῆς φλοιᾶς, τοῦ κατοφλίου, κατέκλινεν, προσποιουμένη νεκρὰν καὶ ἄπνουν ἑαυτὴν εἶναι. οὕτω δὲ αὐτῆς κειμένης ὡς νεκρᾶς καὶ τῆς πύλης τὸ πρωὶ ἀνοιχθείσης ὡς ἔθος παρὰ τοῦ πορταρίου, εἶδέ τις αὐτὴν κειμένην καὶ λέγει πρὸς τὸν πορτάρην· κατὰ ἀλήθειαν ἡ οὐρὰ τῆς ἀλεποῦς ταύτης πολλά ἐστι καλὴ εἰς τὸ σπογγίζειν τὸν μύλωνα. καὶ εὐθὺς ὁ τοῦτο εἰπὼν λαβόμενος μάχαιραν ἔκοψε τὴν οὐρὰν αὐτῆς. ἡ δὲ ἀλώπηξ ἀνδρείως ὑπέμεινε τὸν πόνον τῆς οὐρᾶς. εἶτά τις ἕτερος αὐτὴν ἰδὼν ἔφη· ἐὰν ἔχῃ τις παιδίον μικρὸν κλαῖον πολλά, οὐδὲν ἄλλο ἐστὶν εἰς θεραπείαν καλόν, εἰ μὴ τὰ

---

1 ἔξοδόν τινα C ib. εὑρισκέναι B 2 διελογίζετο B ib. ἐπισταίη C ib. πάντως A, πάντων B, om. C 3 κϊν(ῶν) A ib. θεαθήσωμαι B ib. ἀπόσχονται ABC ib. μέχρις] ἄχρις C 4 διαμερίσωνται C ib. ὑποῦσα A 5 ἐπὶ τὴν πύλην πορεύεται C ib. ἑαυτὴν C 6 πρόσέποιἥτωνεκρὰ A, προσεποιεῖτο εἶναι νεκρά τε C ib. τυγχάνειν om. C 7 τὴν] τὴν τῆς πόλεως C ib. καὶ ABC, ὡς Ebh., τοῦ? Jernst. ib. ἀθρόως B 8 ἐξαγαγεῖν A, ἀπαγαγεῖν B, ποιῆσαι C ib. ὑφορωμένου C pr., littera ο in ω mutata m. sec. 9 ἀναπεσοῦσης A, ἐκταθείσης C ib. συνήθως om. C 9 sq. διανοιχθείσης C 10 ἑαυτὸν A, αὐτὸν B 11 ἀλλ῾ώπεκος A ib. ταύτης AB, τῆσδε C ib. ἐστὶ C, ἔτι B ib. ἕτοιμον AB 12 καὶ τούτο A, ὃς τοῦτ' C ib. εὐθὺς om. C ib. σπασάμενος B, σπασάμενος εὐθέως C, om. A 13 ἀλλώπηξ A ib. ἀποτμηθήσεις A, ἐκκοπείσης C ib. γεναίως A 13 sq. υπήνεγχεν A, in ultima syllaba ε ex ο ut vid. facta 14 παρερχόμενος] παριὼν C ib. καὶ οὗτος] οὕτως C 15 ἀκοῇ om. C ib. εἴπέρ A, εἴ C ib. παιδῶν A, om. C 15 sq. κλαυθμηρίζων C, κλαυθμὸν B

16 ἐγκιζούσης F 17 πάντων F 20 φλιᾶς τοῦ κατωφλίου Boiss., seclusit τοῦ κατοφλίου Ebh. 22 sq. λέγει πρὸς τὸν πορτάριν κατ' ἀληθείας—μύλωνα affert Du Cange Gloss. s. v. πορτάρης 23 σπονγγίζειν D ib. μυλῶνα Ebh.

ρίζων, οὐδὲν ἕτερον αὐτῷ εἰς θεραπείαν καὶ ἀπόπαυσιν τοῦ πολλοῦ αὐτοῦ κλαυθμοῦ ὀνησιφόρον καθίσταται ὡς ὦτα ἀλώπεκος, ἅπερ εἴ γε παρὰ τοῦ παιδίου διηνεκῶς ἐπιφέρεται, οὐκέτι ἐπὶ πλεῖστον ὁ κλαυθμὸς αὐτῷ παραγίνεται. καὶ ταῦτα εἰπών, εὐθὺς τὰ τῆς ἀλώπεκος ἐκείνης ὦτα μαχαίρᾳ ἀπέκοψεν. ὃ καὶ τοῦτο γενναίως ἡ ἀλώπηξ ἤνεγκεν διὰ τὴν τῆς νεκρότητος αὐτῆς ὑπόκρισιν καὶ προσποίησιν. ἕτερος δέ τις ἐκεῖσε τὴν διέλευσιν ποιούμενος, κἀγώ, φησίν, ὦ ἄνδρες, ἠνώτισμαι ὡς εἴπερ τις τοὺς ὀδόντας ἀλγῶν ἔσται καὶ ὀδυνώμενος, ὀφείλει ἀλώπεκος ἄγειν ὀδόντα καὶ τῷ πάσχοντι ἐπιτιθέναι ὀδόντι· καὶ εὐθὺς τῆς τοῦ πάθους θεραπείας τεύξεται. οὕτως οὖν κἀκεῖνος ὁ ἀνὴρ εἰρηκώς, αὐτίκα λίθον ἀράμενος, πάντας τοὺς ἐκείνης ὀδόντας συνέτριψεν· κἀκείνη δὲ καὶ ταύτην γενναίως ὑπήνεγκε τὴν τιμωρίαν. καὶ οὕτω διετέλει τὰ ἀλγεινὰ ὑπομένουσα,

RETRACTATIO.

ὦτα τῆς ἀλεποῦς, τοῦ κρατεῖν αὐτὰ πάντοτε ἐπάνω τοῦ παιδός. καὶ εὐθὺς ἔκοψε καὶ|αὐτὸς τὰ ὦτα αὐτῆς. καὶ ἡ ἀλώπηξ καὶ τοῦτον τὸν πόνον γενναίως ὑπέμεινεν. p. 145
ἄλλος τις πάλιν παρερχόμενος τὴν ὁδὸν ἐκείνην καὶ ταύτην ἰδὼν ὡς νεκράν, εἶπεν· ἀκήκοά τινος λέγοντος ὡς ἐάν τις τοὺς ὀδόντας πονῇ, καὶ θήσῃ ἐπάνω ὀδόντα ἀλεποῦς, εὐθὺς τοῦ πόνου ἐλευθεροῦται. καὶ ἅμα τῷ λόγῳ λίθον λαβών, ἅπαντας τοὺς ὀδόντας ἐκείνης συνέτριψε. καὶ ἡ ἀλώπηξ πάντα τὰ δεινὰ ταῦτα ὑπέμεινεν ἀνδρικῶς,

---

1 ἕτερον A, ἅτερον C ib. πολλοῦ om. C 1 sq. κλαυθμοῦ αὐτοῦ C 2 ὀνησιφόρον καθίσταται om. C ib. ἅπερ εἶγε A, ἅτινα εἰ C ib. παρα του A, διὰ τοῦ B 3 διήνεκῶς ἐπὶφέρεται A, τοῦδε φέροιτο C ib. οὐχέτι A, οὐχ C ib. ἐπὶ πλεῖον B, ἐπῖπολύ C ib. παραγίνεται] παρατείνει C 4 εὐθὺς om. C 4 sq. ἀπέκοψεν — ἤνεγκεν] ἀπέτεμεν. ἤνεγκε δὲ γενναίως καὶ τοῦτο ἡ ἀλώπηξ C 5 in C «inde a pr. διὰ in versu extremo posita (cod. f. 62r m.) usque ad v. εἰσέρχεται p. 116,11 (cod. 63b in margine superiore) ab alio homine postea exarata sunt, ut lacuna quam prior librarius reliquerat expleretur. hic autem pergit p. 116,11 (f. 63v) vv. πρὸς τὸ usque ad f. 64 versum 5 ab imo margine; inde usque ad libri finem omnia exarata sunt a librario altero. post ἐφιεμένοις 129,13 3³/₄ vel 4³/₄ versuum spatium est vacuum» Ebh. «deinde incipiunt *Theodori Prodromi ad Manuelem Comnenum versus politici*, ut nescio qua manus latine adscripsit» Jernst. 5 sq. αὐτῆς ὑπόκρῖσιν καὶ πρὸσποίησιν A, αὐτῆς ὑπόκρισιν (καὶ προσποίησιν omissis) B, ὑποφύγῃ θάνατον C 6 ἕτερός τησδὲ A ib. διἕλευσιν ABC ib. ἔφη πρὸς τοὺς ἑτέρους post ποιούμενος inserit C ib. καγῶ AC 7 ἠνώτϊσμαι A, ἠνώτισμε BC ib. ὡς εἴπέρ τις A, ὡσεὶ πέρτις B, ὡς ὑπέρτης C ib. ἀλγῶν BC ib. ἔσται AC, ἔστιν B ib. ὀδυνόμενος A, ὀδυνόμενος C, ὀδυνάμενος B 8 ἀλω (πκ') C, cf. n. ad 110,12 ib. ἄγειν A, ἀγαγεῖν B, ἐκβάλλειν C pr., corr. ἐκβαλλεῖν ib. ὀδόντα A, ὀδον (τ') C ib. ἐπὶτηθῆναι C, ἀποτιθέναι B 9 πα' (θ) C ib. ἐπιτεύξεται B ib. οὔτως A, οὗτος C ib. κἀκεῖνος ex ἐκεῖνος factum B ib. εἰρηκῶς A, εἰρηκός littera ό corr. m. sec. in ῶ C 10 ἐκείνης AB, τῆς ἀλώπεκ(ος) C ib. κἀκήνη C ib. δὲ καὶ om. B 11 γεναίως C ib. ὑπήνεγκεν B, ὑπέμεινεν C ib. τὴν om. A ib. οὗτω A, οὗτω C ib. ἀλγϊνὰ A, ἀλγηνὰ C

14 ἄλλός F 15 ὀδόντα], ὀδόντας D 16 τόν πονον D 17 ὑπέμενεν D

ἄχρις ὅτου ἕτερός τις ἀνὴρ παρερχόμενος ἔφη ὡς· κἀγὼ ἀκήκοα ὅτιπερ εἰς πᾶν ὅτι οὖν ἀκεσώδυνον φάρμακον ἡ τῆς ἀλώπεκος χρησιμεύει καρδία, καὶ ὅτι πάσαις ταῖς νόσοις θεραπευτική ἐστιν. οὕτως οὖν κἀκεῖνος εἰπὼν, εὐθὺς μάχαιραν σπασάμενος ἐξορύξαι τὴν αὐτῆς ἐπειρᾶτο καρδίαν. κατ' ἐκείνην δὲ τὴν ὥραν ἔτυχεν καὶ τὴν πύλην τοῦ τείχους διηνοιγμένην ὑπάρχειν· καὶ αὐτίκα ἡ ἀλώπηξ ἀθρόον ἐκπηδήσασα, πολλῷ τῷ τάχει διὰ τῆς πύλης ἐξέδραμε καὶ τὸν ἐπηρτημένον διέφυγε κίνδυνον. κἀγὼ δὴ τανῦν, ἡ τάλαινα, ὦ βασιλεῦ, πάντα μὲν τἆλλα ἅπερ οἱ τοῦ κράτους σου μεγιστᾶνες συμβουλεύουσι τῇ σκηπτουχίᾳ σου ἑτοίμως ἔχω ὑπομεῖναι, τὸ δὲ τὴν καρδίαν μου ἐξορυχθῆναι ὑπηνεγκεῖν οὐ δεδύνημαι· θανάτου γὰρ βιαίου τοῦτο παραίτιον πέφυκε.

Ἐπὶ τούτοις οὖν ἀποκριθεὶς ὁ τοῦ βασιλέως υἱὸς λέγει τῷ πατρὶ καὶ τοῖς παρεστηκόσι μεγιστᾶσιν· ἀληθῶς ἡ γυνὴ καὶ πρεπόντως φησίν· οὐ χρὴ γὰρ τοὺς

RETRACTATIO.

ἕως οὗ ἄλλος ἄνθρωπος περιπατῶν εἶπεν· ἐγὼ ἀκήκοα εἰς πᾶσαν ὀδύνην ὠφελεῖν τῆς ἀλώπεκος τὴν καρδίαν, καὶ εἰς ἅπαν νόσημά ἐστι θεραπευτική. οὕτως εἰπόντος τοῦ ἀνθρώπου ἐκείνου καὶ μάχαιραν λαβόντος πρὸς τὸ τὴν καρδίαν αὐτῆς ἐκβαλεῖν, ἡ ἀλώπηξ εὐθέως πηδήσασα σπουδαίως διὰ τῆς θύρας τοῦ κάστρου ἐξέφυγεν — ἔτυχε γὰρ τὴν πύλην τότε ἠνεῳγμένην εὑρεθῆναι — καὶ τοῦ φόνου οὗ ἔμελλε παθεῖν ἠλευ-
p. 146 θερώθη. καὶ ἐγὼ νῦν, ἡ ἀθλία, ὦ βασιλεῦ, πάντα|ὅσα οἱ ἄρχοντές σου συμβουλεύονταί σοι ἑτοίμη εἰμὶ ὑπομεῖναι, τὴν δὲ καρδίαν μου ἐκβαλεῖν βιαίως οὐ δύναμαι ὑπομεῖναι· θάνατος γάρ ἐστι τοῦτο πικρὸς καὶ ὀδυνηρός.

Ἐπὶ τούτοις ἀποκριθεὶς ὁ τοῦ βασιλέως υἱὸς λέγει τῷ πατρὶ καὶ τοῖς παρεστῶσιν ἄρχουσιν· ἀληθῶς ἡ γυνὴ λέγει καὶ πρεπόντως· οὐδὲ γὰρ πρέπει τοὺς φρονίμους καὶ συνε-

---

1 τις om. B ib. ἔφη· ὡς AC, ἔφησεν· ὡς B 1 sq. ὅτιπερ εἰς πᾶν ὁτιοῦν B, ὅτι περισπὰν οὖν A, ὅτιπερ οὖν C 2 ἡτὴς C, ἥτις A ib. χρησιμέβη AC 3 νόσαις θεραπευτικὸν C ib. ἐστι B ib. οὗτως A, οὕτος C ib. οὖν om. B 4 ἐξωρύξαι C ib. ἑαυτῆς A ib. ἐπειράτο A, ἐπειρα[τ'] C ib. χατεχείνην AC ib. ἔτυχε B 5 τοῦ τύχους A, τῆς πόλεως C ib. διηνοιγμένην ὑπάρχειν] διἀνοιγῆναι C ib. ἀθρόως B, om. C 6 τάχος C pr., ει supra scripto m. sec. ib. ἐξέδραμε AB, ἀπέδρα[σ]: C 7 διέφυγεν χιν[δν·] C ib. τάλενα A, ἀθλία C 8 χράτουσου A, χρ[α']|τοῦ σου C ib. μεγιστάνες ABC ib. συμβουλεύουση A, συμβουλεύουσιν B, συνεβουλεύσαντο C ib. τῆσ χηπτουχίασσου ἑτοίμως A, τῇ βασιλεία σου, ἑτοίμος C 9 ὑπομείναι A, ὑπὸμένειν (litteris ει eadem ft. m. mutatis in αι) C ib. τὸ δὲ τῆν A, τὴν δὲ B ib. ὑπηνεγχεῖν AB, ὑπενεχεῖν C ib. οὐ|δύνημαι A, οὐ δύναμαι B 10 τοῦτο om. C ib. παρέτιον A, παραΐτιον C ib. πέφηχε A, πέφυ[χ] C, πέφυχεν B 11 ἀποχρι[θ'] C 12 παρεστιχόσι A, παρεστηχῶσι B, παρεστΐχῶσι C ib. μεγιστάσιν A, μεγιστᾶσι B, μεγιστάνοις C ib. ἀληθὼς B, ἀλη[θ] C ib. ἡ om. AB ib. πρεπόντος AB, πρεπόν[τ] C «et sic fere ubique syllaba extrema supplenda: supplevi autem, tum demum monito lectore ubi aliquid eius interesse vel dubitari posse videbatur» Ebh. ib. φησί B ib. οὐ χρὴ γὰρ BC, οὐ γὰρ χρὴ A

19 ἕτοιμη F

τῶν ἀνδρῶν συνετοὺς καὶ φρενήρεις τὰ παρὰ τῶν γυναικῶν σφαλλόμενα ὑπὸ μέμψιν πολλὴν καὶ αἰτίασιν τιθέναι. λοιπὸν οὖν οὐδὲ ταύτῃ τῇ γυναικὶ τιμωρίας καὶ ποινῆς προσήκει ἀπόφασις· ἀλλὰ τοῦτο μόνον δέον ἐπ' αὐτῇ γενέσθαι, ἵνα | ἡ [A f. 295] αὐτῆς κεφαλὴ ἀποξυρισθῇ καὶ ἡ ὄψις αὐτῆς ἀσβόλῃ περιχρισθῇ κώδωνά τε τοῦ αὐτῆς τραχήλου ἐξαρτήσωσιν, εἶτα καὶ ὄνῳ ἀντιστρόφως αὐτὴν ἐποχεῖσθαι παρασκευάσαντες, ἀνὰ πᾶσαν θριαμβεύσωσι τὴν πόλιν ἔμπροσθέν τε αὐτῇ δύο συνπεριέρχωνται κήρυκες, ὁ μὲν εἷς αὐτῶν προπορευόμενος ὁ δὲ ἕτερος ὄπιθεν ἐπακολουθῶν, οἵ καὶ ὀφείλουσιν βοᾶν εἰς ἐπήκοον πάντων ὅπερ ἡ γυνὴ ἐξηργάσατο ἀτόπημα. οὕτως εἰ|πόντος τοῦ παιδός, ἥσθη ὁ βασιλεὺς ἐπὶ τοῖς λαληθεῖσι, [B f. 110]

RETRACTATIO.

τοὺς τῶν ἀνθρώπων τὰ τῶν γυναικῶν σφάλματα εἰς ἀφορμὴν καὶ μέμψιν καὶ κατηγορίαν μεγάλην ἔχειν. καὶ οὐδὲ αὐτὴν τὴν γυναῖκα πρέπει μεγάλης τιμωρίας καὶ παιδεύσεως ἀπόφασις· ἀλλὰ τοῦτο μόνον ἐστὶ δίκαιον αὐτῇ γενέσθαι, ἵνα ἡ κεφαλὴ αὐτῆς ξυρισθῇ καὶ τὸ πρόσωπον αὐτῆς μουτζωθῆναι, καὶ ἐπάνω ὄνου ἐξόπισθεν καθίσαι καὶ εἰς πᾶσαν ἐκπομπεφθῆναι τὴν πόλιν, δύο δὲ κήρυκες ἤτοι πλατζάριοι πορεύονται μετ' αὐτῆς ἔμπροσθέν τε καὶ ὄπισθεν, καὶ λέγειν αὐτοὺς φωνῇ μεγάλῃ ὥστε πάντας ἀκούειν, εἴ τι ἄρα κακὸν αὕτη εἴργασται. οὕτως εἰπόντος τοῦ υἱοῦ τοῦ

---

1 prius τῶν om. B ib. φρενήρης A, φραινήροις C pr., supra scripto m. sec. aut φρονίμους aut φρονίμοι ib. σφαλόμενα ABC 1 sq. ὑπὸ μεμψῖν πολλὴν καὶ A, ὑπομέμψιν πολλὴν καὶ B, ὑπομέμψιν πο[λλ] καὶ C, ubi m. sec. litteras ιν πο[λλ] καὶ lineola subscripta notavit et in marg. ἵν καὶ iteravit 2 ἐτίάσιν C ib. γΰναι A, γυνῆ C 3 ποινὴς A, πεινῆς B, ποι[ν] C ib. πρόσῆκει A, προσει[κ'] C ib. ἀπόφα̈ C pr., in marg. m. al. ἀποφάναι 3 sq. ἡ ἑαυτῆς B 4 ἀπὸξηρισθῆ A, ἀποξηρισθ' C ib. in marg. κς C 5 τοῦ C pr., τῆς m. sec. ib. ἐξαρτήσουσιν C ib. ἀυ[τ] (et in marg. m. sec. αὐτὴν) ἀντίστρόφως C ib. ἐποχείσθαι A, ἐπωχεῖσθαι B, ἐποχίσθαι C 6 παρασκεβάσαν[τ] C ib. θριάμβεύοσι A, θριαμβεύσωσι B, θριάμβεύσωσιν C ib. ἔνιπροσθέν A pr., corr. (littera ι erasa) ἔν προσθέν, ἔμπροσθ(εν) C 6 sq. τε—προπορευόμενος] om. A 6 τε αὐτῆ B, δὲ ἀυ[τ] C, δὲ αὐτῆς Ebh. 7 συνπεριέρχονται B, σὺν περῖτρέχον[τ] C ib. κΰρηκ(ες) C ib. αὐτῶν B, αὐτῆς C ib. δ' B ib. ὄπιθεν (ὅ ex ἕ facto A) AB, ὄπισθ(εν) C 8 οἳ A, εἶ (lineola a m. sec. subscripta notatum) C ib. ὀφῆλουσιν A, ὀφείλουσιν C, ὀφείλωσιν B ib. βοᾶν A, βοὰν C, om. B ib. ἐπίκοον A, ὑπήκωον B 8 sq. ἐξηργάσατ(ο) ἀτόπημ(α) ἡ γυνῆ C 9 οὗτος AC ib. ἥσθι A, ἴσθη C ib. τ(ῆ)ς λαληθεῖσι A, τῆς λαληθη[σ'] C pr., ita mutatum m. sec. ut sit της[οῖ] λαληθεῖ[σ]

13 καὶ τὸ πρόσωπον αὐτοῦ μουτζωθῆναι Du Cange s. v. μουτζοῦν 14 ἐκπομπευθῆναι Boiss. 14 sq. δύο—πορεύονται μετ' αὐτοῦ citat Du Cange s. v. πλατζιάριος 15 ὄπισθε F ib. φωνὴ μεγάλη F 16 αὔτη κακὸν F

συνεμαρτύρουν δὲ καὶ οἱ μεγιστᾶνες ἀποδεχόμενοι τὴν γνώμην. καὶ φησὶ πρὸς τὸν παῖδα ὁ βασιλεύς· ἄριστα, ὦ τέκνον, λελάληκας καὶ συνετῶς τῷ ὄντι ἡμῖν συμβεβούλευκας. γενέσθω λοιπὸν ἐπὶ τῇ γυναικὶ ὅπερ ὁ ἐμὸς υἱὸς ἡμῖν συνεβούλευσε. καὶ διεπράχθη ἐπὶ τῇ πονηρᾷ καὶ σκολιᾷ γυναικὶ ὅπερ ὁ τοῦ βασιλέως υἱὸς τῷ πατρὶ περὶ αὐτῆς συνήνεσεν.

Εἶτα φησὶν ὁ βασιλεὺς τῷ φιλοσόφῳ Συντίπᾳ· ἀνακάλυψόν μοι, ὦ φιλόσοφε, καὶ ἀριδήλως παράστησον, πόθεν ἡ τοσαύτη σύνεσις καὶ φιλοσοφία τῷ υἱῷ μου προσεγένετο; μή τοι ἐξ αὐτῆς τῆς γεννήσεως φυσικὴν ἔσχε τὴν λογιότητα; ἢ μᾶλλον διὰ τῆς σῆς ἐπιμελείας σεσόφισται; ὑπολαβὼν δὲ ὁ Συντίπας λέγει τῷ βασιλεῖ· ἡ τοῦ υἱοῦ σου σύνεσις ἅμα καὶ γνῶσις, ὦ βασιλεῦ, ἄνωθεν αὐτῷ ἐν πρώτοις κεχορήγηται· ἀλλὰ καὶ αὐτὴ ἡ τῆς γεννήσεως αὐτοῦ τύχη τὸ τῆς γνώσεως προτέρημα, ὡς οἶμαι, πεπλούτηκεν· ἔπειτα δὲ καὶ ὑπὸ τῆς ἐμῆς πάντως ἐπιμελείας καὶ σπουδῆς τὸ ἐν γνώσει ἀπαράμιλλον ἔσχηκεν· πλὴν περὶ τούτου

RETRACTATIO.

p. 147 βασιλέως, ηὐ|φράνθη ὁ βασιλεὺς καὶ πάντες οἱ ἄρχοντες ἐστερέωσαν τὰ λαληθέντα, ἀποδεξάμενοι τὴν τοιαύτην βουλήν. ὁ δὲ βασιλεὺς φησὶ πρὸς τὸν υἱὸν αὐτοῦ· ὦ τέκνον, καλῶς λελάληκας καὶ φρονίμως ἡμῖν συνεβούλευσας. λοιπὸν γενέσθω ἐπ' αὐτῇ καθὼς ὁ υἱός μου ἡμῖν συνεβουλεύσατο. καὶ ἅμα πάντα ἐγένετο ἐπ' ἐκείνῃ τῇ πονηρᾷ γυναικὶ ὅσα ὁ νέος τοῦ βασιλέως υἱὸς συνεβουλεύσατο.

Εἶτα φησὶν ὁ βασιλεὺς τῷ φιλοσόφῳ Συντίπᾳ· φανέρωσόν μοι, ὦ φιλόσοφε, καὶ ἀληθῶς ἀπόδειξον, πόθεν ἡ τοσαύτη γνῶσις καὶ φιλοσοφία προσεγένετο τῷ υἱῷ μου; μὴ ἐξ αὐτῆς τῆς γεννήσεως φυσικὴν ἔλαβε τὴν λογιότητα; ἢ μᾶλλον διὰ τῆς σῆς ἐπιμελείας σεσόφισται; ἀποκριθεὶς δὲ ὁ Συντίπας λέγει τῷ βασιλεῖ· ἡ τοῦ υἱοῦ σου, δέσποτα, σύνεσις ἅμα καὶ γνῶσις ἐκ θεοῦ ἐν πρώτοις κεχώρισται· ἀλλὰ καὶ αὐτὴ ἡ τύχη τῆς γεννήσεως αὐτοῦ τὸ τῆς γνώσεως προτέρημα ἔχει· ἐπειδὴ καὶ ἡ ἐμὴ ἐπι-
p. 148 μέλεια καὶ σπουδὴ ἐσμί|χθη τούτοις τοῖς δύο, καὶ διὰ τοῦτο ἔλαβεν ὁ υἱός σου τὸ

---

1 συνὲπὶμαρτύρουν A ib. τὴν γνώμην om. C 2 τὸ ὄντι C, om. B 3 σημβεβοῦλευ-
x
κας A, σῦν βεβούλευ C ib. γῖνέσθ(ω) C ib. ὑμὶν A 3 sq. συνεβούλευσ(ε) C, συμβεβού-λευχε B 4 πονηρᾶ γυναιχ(ὶ) καὶ σχολιᾶ C 5 τῷ] τὸ C 6 φησι B ib. σιντίπα A,
τ'
σῖντύπα B ib. μοι et 7 μου] μ C 8 προσσεγέννετο C ib. μή τῆ A, μή τι B, μη C
εν σϊ
ib. γεννήσεως φυσικὴν AB, γν φυ C 9 σῖντῖπας A, σῖντύπας B 10 σύνεσ(ις) || ἅμα καὶ σύνεσις
τ̈'
ἅμα καὶ γνώσις A 11 πρώτοις κεχωρήγηται B, πρω κεχωρήγ(η)τ(αι) C ib. ἄλλα A ib. αὐτῆ A,
εν τχ'
αὔτη B, αὔτη C ib. γν C 12 οἶμαι AB, σοὶ μὲν ἔφης C ib. πεπλοῦτηκεν A, πεπλου C, πεπλούτῖχεν B «ft. recte, quamvis casu» Jernst. ib. ἔπιτα A, ἐπεὶ B 13 ἀπαράμηλον A,
λ
ἀπαράμει C ib. ἔσχηχ(ε) C

23 κεχάρισται Ebh.

καί τινός μου διηγήσεως, ὦ βασιλεῦ, ἄκουσον. ὁ δὲ βασιλεὺς, φράσον ὃ βούλει, φησὶ, σοφώτατε Συντίπα. ὁ δὲ τοιαύτης πρὸς αὐτὸν ἐξηγήσεως ἀπήρξατο·

Βασιλεύς τις ἦν ἐν τοῖς ἔκπαλαι χρόνοις, ὃς δὴ καὶ πλείστους ὑφ' ἑαυτὸν φιλοσόφους ἐπλούτει, ὧν ὁ εἷς ἐτύγχανε τῶν ἄλλων μάλα διαφορώτατος. ἦν δὲ ἐκείνῳ τῷ βασιλεῖ καί τις ἕτερος ἀνὴρ τὴν ἀστροθεάμονα τέχνην ἄκρως ἐξησκημένος. τῷ γοῦν πρωτεύοντι ἐκείνῳ τοῦ βασιλέως φιλοσόφῳ υἱός τότε γεννᾶται, περὶ οὗ δὴ καὶ τῷ βασιλεῖ ἀνηγγέλη. ὁ δὲ εὐθὺς τὸν ἀστρολόγον ἐκεῖνον προσεκαλέσατο καὶ τοῦτον περὶ τοῦ τεχθέντος τῷ φιλοσόφῳ παιδὸς.... πρότερον μεμαθηκὼς, ἐξήτασε περὶ τῆς αὐτοῦ τύχης· καὶ τῷ βασιλεῖ δεδήλωκεν ὡς· ὁ παῖς οὗτος, ὦ δέσποτα, ἐξ ὧν με οἱ τῶν ἀστέρων δρόμοι διδάσκουσι, τὴν τῶν λῃστῶν

RETRACTATIO.

ὑπερβάλλειν πάντας ἐν γνώσει. πλὴν περὶ τούτου καί τινός μου διηγήσεως ἄκουσον. ὁ βασιλεὺς ἔφη· εἰπὲ ὃ βούλει, Συντίπα, τῇ ἀληθείᾳ φιλοσοφώτατε. ὁ δὲ τοιαύτης πρὸς αὐτὸν ἐξηγήσεως ἀπήρξατο·

Βασιλεύς τις ἦν ἐν τοῖς ἄνωθεν χρόνοις, ὅστις εἶχε μετ' αὐτοῦ πολλοὺς φιλοσόφους, ἐξ ὧν εἷς ὑπῆρχε τῶν ἄλλων μειζότερος λίαν. ἦν δὲ παρ' ἐκείνῳ τῷ βασιλεῖ ἄνθρωπός τις τὴν ἀστρολογικὴν τέχνην μεγάλως γινώσκων καὶ μετερχόμενος. τῷ γοῦν πρώτῳ φιλοσόφῳ ἐκείνῳ τοῦ βασιλέως γεννᾶται τότε υἱός. καὶ εἶπον τοῦτο τῷ βασιλεῖ ὡς· ὁ δεῖνα φιλόσοφος ἐγέννησεν υἱὸν σήμερον. ὁ δὲ βασιλεὺς εὐθὺς τὸν ἀστρολόγον προσεκαλέσατο. καὶ ὁ ἀστρολόγος, πρότερον τὴν γέννησιν τοῦ παιδὸς ἀκούσας, ἐξέτασεν ἐν τοῖς ἄστροις περὶ τῆς τύχης τοῦ παιδός· καὶ ὡς ὁ βασιλεὺς αὐτὸν ἐλάλησε τοῦ ἐρωτῆσαι αὐτὸν περὶ τοῦ παιδὸς, αὐτὸς ἅμα λέγει τῷ βασιλεῖ· ὁ παῖς οὗτος,|ὦ δέσποτα, ὁ νῦν γεννηθεὶς, ἐξ ὧν με διδάσκουσιν οἱ τῶν ἀστέρων δρόμοι, τὴν p. 149

---

1 βασιλεὺς] βασιλεὺ A 1 sq. ὃ (ὦ B) βούλει (βοῦλη A) φησὶ AB, φησ(ὶν) ὦ βου^{λ} C 2 σοφότατε A, σοφοτ(α)τ(ε) C ib. σιντὰπα A pr., corr. σιντίπα, σῒντύπα B, σῒντη^{π} C ib. τοιαῦτης A, τῒαῦτης C 3 δὴ] δὲ compendium C ib. πλήστους C ib. ὑφὲαυτὸν A, ἐφὲαυτὸν C 4 ἐπλούτει AB, ἐπλου^{τ} C ib. ἐτύγχανεν BC ib. μᾶλα B, μάλον C ib. διὰφορώτατος A, δῒὰφορο^{ττ} C 5 ἀστροθέμονα A 5 sq. ἄκρος ἐξ'ΐσχημένος C 6 τότε om. C ib. γεννάται AC 7 δὴ om. C ib. τὸ C ib. ἀνηγγέλλη B, ἀνηγγέλθ(η) C ib. βασ(ι)λ(εὺς) ante εὐθὺς inserit C ib. τὸν] τον τ(ο͂ν) A ib. ἐκεῖνον om. C 8 του^{τ} C ib. lacunam significavit Jernst. 8 sq. μεμαθ(η)κ(ὼς) C 9 ἐξητάσε A, ἐξήτασεν C ib. τὸ C ib. δεδήλωκε B, δεδήλωκ(ε) C

11 lemma codicum: διήγησις τοῦ φιλοσόφου Συντίπα 17 «in v. υἱός. καὶ desinit cod. F f. 91; f. 92 iucipit a v. ἀκούσας (19); media praetermissa sunt» Ebh. 19 ὁ om. D 20 sq. καὶ—παιδὸς «om. F ab altero v. παιδός ad alterum transiliens» Ebh.

A f. 296 καὶ κακούργων | πονηρὰν τύχην κέκτηται, καὶ ἐπὶ μακροὺς βιοτεύσει χρόνους, ἀλλὰ καὶ κατ' αὐτὴν τὴν τρεισκαιδεκαετίαν τῆς αὐτοῦ ζωῆς μεγίστην κακουργίαν καὶ κλοπὴν διαπράξεται. τούτων δὲ οὕτως παρὰ τοῦ ἀστρολόγου ἐκείνου ῥηθέντων, λέγει πρὸς αὐτὸν ὁ τοῦ τεχθέντος πατήρ· πάντως ἤδη φιλαλήθως δῆθεν τῷ βασιλεῖ τὰ τῆς τύχης τοῦ τεχθέντος μοι παιδὸς ἐγνώρισας; ὁ δὲ, ναί, φησίν, ὦ φιλόσοφε· ἀκριβῶς γὰρ τὰ περὶ αὐτοῦ ἐξετάσας καὶ συζητήσας, εὗρον ὅτιπερ λῃστὴς γενήσεται καὶ λῃστῶν ὁ χαλεπώτατός τε καὶ ὀλεθριώτατος. ὑπολαβὼν δὲ ὁ φιλόσοφος λέγει ἐκείνῳ τῷ βασιλεῖ· ἔγωγε λοιπὸν τὸν ἐμὸν B f. 111 παῖδα ῥυθμίσω τε | καὶ ἐκπαιδεύσω τοῦ μή τινα τοιαύτην αὐτὸν πρᾶξιν νενοσηκέναι, ἀλλὰ μᾶλλον τῶν ἀπηγορευμένων αὐτὸν πρακτέων ἀπέχεσθαι. ὁ μέντοι γεννηθεὶς παῖς ὀκτὼ μῆνας τῆς ἡλικίας ἀνύσας, τῆς μὲν τοῦ μητρῴου μαζοῦ

RETRACTATIO.

τῶν λῃστῶν καὶ κακούργων κακὴν τύχην ἔχει, καὶ πολλοὺς ἐπιζήσει χρόνους, καὶ τῷ τρισκαιδεκάτῳ ἔτει τῆς ζωῆς αὐτοῦ μέγα κακὸν καὶ κλεψίαν ποιήσει. τούτων οὕτως λαληθέντων παρὰ τοῦ ἀστρολόγου, λέγει πρὸς αὐτὸν ὁ πατὴρ τοῦ τεχθέντος παιδός· νῦν λοιπὸν ὅλα κατὰ ἀλήθειαν ἐφανέρωσας τῷ βασιλεῖ τὰ περὶ τοῦ γεννηθέντος μοι παιδός; ὁ δὲ, ναί, φησὶν, ὦ φιλόσοφε· καὶ γὰρ ἀκριβῶς ἐξέτασα τὰ περὶ τῆς τύχης τοῦ παιδὸς, καὶ εὗρον ὅτιπερ λῃστὴς γενήσεται καὶ λῃστῶν ὁ χαλεπώτατος. ἀποκριθεὶς δὲ ὁ φιλόσοφος λέγει ἐκείνῳ τῷ βασιλεῖ· ἐγὼ λοιπὸν τὸν ἐμὸν παῖδα παιδεύσω οὕτως ἐν τάξει τοιαύτῃ, τοῦ μὴ ποιῆσαι αὐτὸν τοιαύτην ποτὲ πρᾶξιν, ἀλλὰ μᾶλλον ποιήσω αὐτὸν φεύγειν ἐκ τῶν ἀπηγορευμένων κακῶν πράξεων. ὁ μὲν οὖν γεννηθεὶς παῖς ὀκτὼ μηνῶν γεγονὼς, διέκοψεν αὐτὸν τοῦ βυζάνειν τὸ γάλα τῆς μητρός. ὕστερον|

---

1 πονηρὰν τύχην B, πονηράν γὰρ τύχην A, πονηρίαν C ib. βϊῶτευσει A, βιωτεύ τοὺς C (σ supra lin.)
2 κατ' αὐτὴν τὴν B, κατὰτῆν A, κταυ τὴν C (υ, τ` supra lin.) ib. τρὶσκαὶδεκαὲτῖαν A, τρεισκαιδεκαετίαν B, τρεῖσ καὶ δεκατῖαι C (αν' supra lin.) 3 κλωπὴν δϊὰπράξηται C ib. δὲ om. B ib. οὗτος A, οὕτω B, οὗτος C
3 sq. ἐκείνϑρηθέντων (litteris ϑρ ex ων ut vid. correctis) A, ἐκείνου om. C 4 πάντα C
5 δῆθεν om. C ib τοῦ τεχθέντος] τοῦχθέντος A ib. μοι om. C ib. ἠγνώρισας B 6 φησι B
ib. γὰρ. om. C ib. αὐτοῦ AB, τοῦ παιδ(ὸς) C ib. ἐξετάσας BC, ἐξέτασον A 7 ὅτιπερι A
ib. χαλεπότατός τε AB, χαλεπώτ(α)τ(ος) C ib. ὀλεθριῶτατος A, ὀλεθριότατος B, ὁ λεθριότ(α)τ(ος) C
8 ἐκείνῳ om. C ib. ἐγῶ γε A, ἐγώ σε C 9 ρηθμήσω A, ῥυθμήσω B, ριθμύ C (σ supra lin.) ib. τε om. C
ib. αὐτὸν τϊαὕτὴν C, αὐτὸν om. B 10 ἄλλα A ib. μάλλον A, μᾶλλον αὐτὸν B ib. τὸν ἀπηγορευμένον C ib. αὐτῶν A, om. B ib. πρακταίον A, πρακταίως aut πρακταίων C
ib. ἀπαίχεσθαι A, ἀπέχεσθ(αι), τῶν δὲ ἀγαθῶν καὶ ἀξϊὲπαίνων ἀντέχεσθ(αι) C ib. μέντϊ C
11 όκτῶ μήνας A, ὀκτάμηνος B, ὁ κτῶ μη C (ν' supra lin.) ib. ἀνύσας τῆς μὲν] ἀμείψας C
13 μέγα κακὸν καὶ κλεψίαν ποιουσι Du Cange Append. p. 103 16 ἐξετάσασα F
19 πρᾶξιν ποτέ D 20 κακῶν] καὶ κακῶν D 21 διέκοψαν D

θηλῆς εὐθὺς ἀποτέμνεται. τοῦτον δὲ μετὰ ταῦτα ὁ πατὴρ ἐντὸς οἰκίσκου τινὸς ἐγκατακλείει, καὶ ἤρξατο αὐτὸν διά τινων ἁπαλῶν καὶ λυσιτελῶν ἐδεσμάτων ἐκτρέφειν τε καὶ ἀνατρέφειν, οὐ μὴν ἀλλὰ καὶ πᾶσαν αὐτὸν ἀρετὴν ἐκδιδάσκειν καὶ σεμνότητα. καὶ οὕτω σὺν ἀκριβείᾳ τὸν υἱὸν ἀνατρέφων, οὐκ εἴα τινὰ τὸ παράπαν πρὸς αὐτὸν εἰσέρχεσθαι οὔτε ἔξωθεν τοῦ οἰκίσκου τὸν παῖδα προέρχεσθαι, ἀλλ' οὐδὲ τῶν πονηρῶν τοῦ ἀνθρωπίνου βίου πράξεων γνώριμόν τι τούτῳ καθίστα τὸ σύνολον. καὶ οὕτως ὁ παῖς ἀνατρεφόμενος καὶ τοῖς χρόνοις προβαίνων τῆς πεντεκαιδεκαετοῦς ἡλικίας ἥψατο. εἶτα φησὶν πρὸς αὐτὸν ὁ φιλοσοφώτατος τούτου πατήρ· αὔριον, ὦ τέκνον, πρὸς τὸν βασιλέα πορεύσομαι καὶ σὲ μεθ' ἑαυτοῦ ἀπαγαγεῖν πρὸς αὐτὸν βεβούλημαι, ὡς ἂν χαίρειν αὐτῷ προσφθέγξῃ καὶ ὡς δεόντως τούτῳ προσομιλήσῃς μετά γε τὴν συνήθη καὶ

RETRACTATIO.

δὲ ὁ πατὴρ αὐτοῦ ἐγκατακλείει αὐτὸν ἐν ὀσπητίῳ τινὶ, καὶ τρέφει αὐτὸν μὲ τρυφερὰ p. 150
καὶ μαλακὰ βρώσιμα καὶ πᾶσαν παίδευσιν αὐτὸν ἐκδιδάσκει καὶ ἐντιμότητα. καὶ οὕτως τὸν υἱὸν μετὰ πάσης ἀκριβείας παιδεύων, οὐκ ἀφῆκεν ὅλως τινά ποτε τοῦ ἐλθεῖν πρὸς αὐτὸν οὐδὲ τὸ παιδίον ἔξω τοῦ ὀσπητίου περιπατεῖν, ἀλλ' οὐδέ τι κακὸν τῶν τοῦ κόσμου ἀφῆκε τὸν παῖδα μαθεῖν ἢ ἀκοῦσαι. καὶ οὕτως ἀνατρεφόμενος ἤρξατο τὸν πεντεκαιδέκατον χρόνον. καὶ λέγει ὁ πατὴρ πρὸς τὸν παῖδα· αὔριον, ὦ παῖ, βουλόμενος ἀπελθεῖν πρὸς τὸν βασιλέα, βούλομαι καί σέ γε λαβεῖν· καὶ γίνωσκε πῶς μετὰ τὴν συνήθη προσκύνησιν χαιρετήσεις τὸν βασιλέα καὶ ὡς πρέπει χαιρετή-

---

1 θηλῆς om. C   ib. τοῦτων A, του$^{\tau'}$ C   1 sq. τι(νὸς evanuit) εν κτακλῖ$^{\tau}$ει C   2 τινον A, τινα B, τινῶν C   ib. ἀπα$^{\lambda\lambda\tilde{}}$ C   3 ἐκτρέφειν τε καὶ ἀνατρέφην A, ἐκτρέφην καὶ ἀνατρέφην C   ib. αὐτῶν B   4 οὗτω συν ἀκριβεία A, οὕτως σὺν ἀκριβία B, οὗτο σῦνακρῖβία C   ib. ἀνατρέφον A, ἀνέτρεφεν C   ib. οὐχ' εἶα A, οὐ χεῖα C   5 οὖτε A, οὔτε B, οὐδὲ C   ib. οἰκίσχου A, οἶκου C   6 ἀλλ' οὖδε A   7 τοῦτω A, τοῦτον B, του$^{\tau'}$ C   ib. καθίστα τὸ B, καθίστατο AC   ib. συνόλ(ως) C   ib. οὖτως A, οὐτὸς C   7 sq. καὶ τοῖς χρόνοις προβαίνον A, om. C   8 τῆς B, τοῖς A, τὴν C   ib. πέντεκαὶδεκαέτοῦς A, πεντεκαιδεκαέτους B, πεντεκαί$^{\chi}$δε τοῦ ετοῦς C   ib. εἶτα A, εἶτα C «semper» Ebh.   ib. φησι B   ib. πρὸς αὐτῶν A, om. B   8 sq. φιλόσοφος B, om. C   10 πρὸς ἑαυτὸν βεβούλημαι B, πρὸς αὐτὸν βούλομ(αι) C   ib. αὐτὸ C, om. B   11 προσφθέγξει B   ib. δέωντως A, δέοντος B, δέο$^{\tau}$ν C   ib. τοῦτο A, τοῦ$^{\tau o}$ C   ib. προσομιλήσεις AB, προσομηλ$^{\sigma}$ή C
12 ὀσπητίῳ F   ib. μετρυφερὰ F   15 ὀσπητίου F   16 τὸν om. F

δουλοπρεπῆ προσκύνησιν. οὕτω μὲν ὁ φιλόσοφος τῷ ἑαυτοῦ ἔλεγεν υἱῷ· καὶ ἣν
τοῦτον ἄκρως τῇ διδασκαλίᾳ ἐκπαιδεύσας, ἅτε σπεύδων ψευδῆ ἐναποδεῖξαι τὸν
ἀστρολόγον ἐν τῇ ἐκείνου περὶ τούτου προρρήσει. ὁ δέ γε νεανίας ἀκηκοὼς ὅτι-
περ αὐτὸν εἰς τὸν βασιλέα εἰσαγαγεῖν ὁ πατὴρ ἐβούλετο, ἠγωνία μᾶλλον ἐπὶ τῷ
ἀκούσματι, καὶ λογισμοῖς συνεστρέφετο λέγων ὡς· οὐδέποτε ἄλλοτε βασιλέα
τεθέαμαι. καὶ νῦν ἐπείπερ ὁ ἐμὸς πατὴρ εἰς τόνδε με τὸν βασιλέα εἰσαγαγεῖν
βούλεται, χρὴ κἀμὲ μυρεψικὰ καὶ ἀρωματικὰ εἴδη αὐτῷ προσενεγκεῖν καὶ τῇ
A f. 297 αὐτῶν προσ|αγωγῇ τὸ κράτος αὐτοῦ ὡς τὸ εἰκὸς ἐγκωμιάσαι· πλὴν ἀλλ'
ἐρυθριῶ τοιαῦτά τινα εἴδη ἀπὸ τοῦ ἐμοῦ πατρὸς ἐπιζητῆσαι. ἐπίσταμαι δ' οὖν
ὅμως τί με δεῖ πεποιηκέναι. καὶ ταῦτα εἰπὼν τῇ ἐπιούσῃ νυκτὶ ἐξέρχεται λάθρα
τῆς πατρῴας οἰκίας καὶ πορεύεται πρὸς τὸ τοῦ βασιλέως παλάτιον· εἶτα διο-

RETRACTATIO.

σεις αὐτόν. οὕτω μὲν οὖν ὁ φιλόσοφος ἔλεγε τῷ υἱῷ. ὁ δὲ νέος ἀκούσας τὴν πρὸς
τὸν βασιλέα παρουσίαν αὐτοῦ, ἠγωνίζετο μᾶλλον ἐπὶ τῷ λόγῳ τοῦ πατρὸς καὶ καθ'
ἑαυτὸν ἔλεγεν ὅτι· ἐγὼ οὐδέποτε βασιλέα τινὰ εἶδον. καὶ ἐπειδὴ ὁ πατήρ μου ἀρτίως
p. 151 λέγει μοι προσ|κυνῆσαι τούτῳ, πρέπει με ἀρωματικὰ εἴδη προσαγαγεῖν τῷ βασιλεῖ,
ὅπως διὰ τῆς ὀσμῆς τούτων καὶ εὐωδίας ἐγκωμιάσαι τὸν βασιλέα· ἀλλὰ ἐντρέπομαι
ζητῆσαι ταῦτα τῷ πατρί μου, ἀλλ' ὅμως πρέπει ποιῆσαί με τοῦτο. ὅτε καὶ τῇ
ἐπελθούσῃ νυκτὶ ἐξέρχεται κρυφίως ἀπὸ τοῦ πατρὸς αὐτοῦ καὶ ἀπέρχεται εἰς τὸ

---

1 οὖτω A 1—5 in C «bibliopegae culpa folii 63[r] versus ultimus paucis apicibus exceptis totus, paenultimi pars inferior, folii 63[v] versus primi pars superior interciderunt. quae e vestigiis cognosci possunt litterae, eas adscripsi integras, quae perierunt, uncis inclusi. notandum tamen in priore versu praeterea accentuum partem esse servatam» Ebh., cuius relatione cum codice comparata haec fere sibi visus est in eo legisse Jernstedt: (οὔ)τ(ο) (μ)ὲν (ὁ) φιλόσοφος τ(ῷ ἑαυτοῦ υἱῷ) ἔλεγ(ε) καὶ ἣν τοῦ(τον) ἄκρος τῆ δϊδασκαλείας ἰκπαιδεύ[σ] ἅτε σπεύ[δ] ψευδ(ῆ) | .... | ὁ π(ατ)ὴρ εἰς τὸν βασιλ(έα) εἰσαγαγεῖν βουλέ ἡγονι μαλλ(ον) ἐπιτιαχουσ. καὶ λογις συνεστρεφέ λέγ(ων) cf. n. ad. 116, 11 2 σπεῦδον B ib. ψευθῆ A, δὴ B 3 ἀστρολόγων A, ἀστρόλογον B ib. προρήσει B ib. δέ γε A, δὲ B 4 εἰσάγαγεῖν A, ἀγαγεῖν B ib. ἡγονία A ib. τὸ A 5 οὐδέποτε ἄλλοτε A, οὐδέποτε ἄλλον B, οὐδε ἄλλο[π'] τὸν C 6 ἐπείπερ om. C ib. εἰς τόνδε με τὸν βασιλέα εἰσάγαγῆν A, εἰς τόνδε τὸν βασιλέα ἀγαγεῖν B, εἰς αὐτ(ὸν) εἰσαγαγείν μ(ε) C 7 καμὲ A, κάμ[αι] C ib. εἶδη A ib. αὐτ(ὸν) προσσενεγκ' C 7 sq. καὶ τῇ αὐτῶν προσαγωγῇ] καί τι ἑτ(ε)ρ(ον) καὶ C 8 ὡς] ὃς C ib. ἐγκομιᾶσαι A, ἐγκωμιᾶσαι B, ἐγκομιάσαι C 8 sq. αλ[ρι]λεθριῶ τοιάβτά A, ἀλλερϊθριῶ τοὶ αὐτά C 9 εἶδη C «ut saepe» Ebh., ἤδει B ib. δ' om. C 10 ὅμος C ib. δεὶ πεποιήκέναι A, δὴ πεποιήκέν(αι) C ib. καὶ ταῦτα εἰπὼν om. C ib. ἐπὶ οὖση C 11 οἰκίας A, οἰκείας C ib. πορεύεται] εἰσέρχ[τ] C ib. in C «a verbo πρός manus prima loco consueto paginam incipit: quae leguntur inde a vv. ὁ πατήρ εἰς τὸν (116, 4) ab manu altera in superiore margine litteris minutis postea adscripta sunt» Ebh.

16 ἐγκωμιά D 18 ἀπέρχεται] πέρχεται D

ρυγήν τινα κατὰ τοὺς κλέπτας ἐν τῷ τούτου τείχει ποιησάμενος, εἰσέδυ τὰ βασίλεια ἕως αὐτοῦ τοῦ βασιλικοῦ κοιτῶνος. καὶ αὐτίκα ὁ βασιλεὺς ἔξυπνος γενόμενος ἀθρόον αὐτὸν ἑωράκει, καὶ τῇ αὐτοῦ θέᾳ δειλίᾳ συνεσχέθη. καὶ θροούμενος τὰ μέγιστα, καθ' ἑαυτὸν ἔλεγεν ὡς· εἰ μὴ πλεῖστον οὗτος ἐφ' ἑαυτῷ τὸ θάρσος ἐκέκτητο, οὐκ ἂν οὕτως ἀωρὶ τῶν νυκτῶν τῆς ἐνθάδε κατε|τόλμησεν B f. 112 εἰσελεύσεως· καὶ εἴπερ αὐτῷ ἀντικαταστῆναι πειράσομαι, ἴσως ἀνελεῖν ἐπιχειρήσει με. ταῦτα οὖν ὁ βασιλεὺς ἐκεῖνος συλλογισάμενος καὶ ἡσυχάσας μᾶλλον, παραχωρεῖ τὸν νέον ἐκεῖθεν εἰληφέναι εἴ τι δὴ καὶ βουληθείη. καὶ δὴ ἐκτείνας ἐκεῖνος τὰς χεῖρας, τῶν ἐκεῖσε κειμένων βασιλικῶν ἥψατο ὑφασμάτων, καί τινα τούτων σινδόνα ἐξείλκυσε πολλοῦ γε τιμωμένην. ἣν δὴ καὶ μόνην λαβὼν καὶ τοῦ παλατίου ἐξελθών, εὐθὺς ταύτην ἀπεμπόλησε, καὶ ἐκ τῆς τιμῆς μυρσίνης ἀρώματα καὶ ἕτερα μυρεψικὰ εἴδη δαψιλῶς ὠνήσατο. ὁ μέντοι βασιλεὺς οὐδένα τὴν τοῦ νέου νυκτερινὴν ἐπιστασίαν τὸ παράπαν ἐγνώρισεν. ἕωθεν οὖν ὁ φιλόσοφος τὸν ἑαυτοῦ παῖδα παραλαβών, πρὸς τὸν βασιλέα πορεύεται· καὶ εἰσελθόντες, ἐπὶ τῆς γῆς αὐτὸν προσεκύνησαν. καὶ εὐθὺς ὁ παῖς τὰ ὠνηθέντα ἐκεῖνα εὐώδη καὶ τερπνότατα εἴδη τῷ ἀνάκτορι προσήνεγκεν, καὶ δι' αὐτῶν

RETRACTATIO.

παλάτιον· καὶ τρυπήσας τὸν τοῖχον τοῦ παλατίου, εἰσῆλθεν ἐντὸς εἰς τὸ βασιλικὸν κραββάτιον. καὶ ὁ βασιλεύς, ἅμα γενόμενος ἔξυπνος, εἶδεν αὐτὸν καὶ ἐταράχθη. καὶ δειλιάσας καὶ πολλὰ φοβηθεὶς ἔλεγε πρὸς ἑαυτὸν ὅτι· ἐὰν μὴ οὗτος ὁ κλέπτης εἶχε πολλὴν δύναμιν, οὐκ ἂν οὕτως περὶ τὸ μέσον τῆς νυκτὸς ἐτόλμησεν εἰσελθεῖν· καὶ ἐὰν ἀντιπαραστῶ αὐτῷ, ἐπιχειρήσει ἀνελεῖν με. ταῦτα καθ' ἑαυτὸν βουλευσάμενος καὶ σιωπήσας, ἀφῆκεν ἄδειαν τῷ κλέπτῃ. τότε ὁ νέος ἀδείας ἐπιλαβόμενος, ἁπλώσας εἰς τὰ ῥοῦχα τοῦ βασιλέως, ἔλαβε μίαν σινδόνα πολλῆς τιμῆς ἀξίαν. ἐκείνην γοῦν μόνην τὴν σινδόνα λαβών, ἐξῆλθε|τοῦ παλατίου. καὶ εὐθὺς ταύτην διαπωλήσας, ἀπὸ p. 152 τῆς τιμῆς τῆς σινδόνος μυρσίνας καὶ ἄλλα μυριστικὰ ἠγόρασε πολλά. ὁ μὲν οὖν βασιλεὺς οὐκ ἐγνώρισε τὸν κλέπτην τῇ νυκτὶ ἐκείνῃ. τῇ δ' ἐπαύριον λαβὼν ὁ πατὴρ τὸν παῖδα πρὸς τὸν βασιλέα ἐπορεύετο· καὶ εἰσελθόντες προσεκύνησαν αὐτὸν μέχρις ἐδάφους. καὶ ὁ παῖς ἅμα τὰ εἴδη ἅπερ ἠγόρασε μυριστικὰ καὶ λίαν εὔμορφα τῷ βασιλεῖ προσήνεγκε, καὶ χάριν τῶν μυριστικῶν ἐκείνων ἤρξατο ἐγκωμιάζειν καὶ ἐπαι-

---

1 τοὺς om. C ib. τούτου] τοῦ A ib. τείχει] τοίχω C 3 ἀθρόως ἑαυτὸν B 4 καθ' ἑάβτὸν ἔλεγεν A, ἔλεγε καθ' ἑαυτὸν οὕτως C ib. πλεῖστον] ἐπὶπλεῖστον C ib. ἑαυτῶτὸ A, litteris ωτ ex ου correctis 5 θράσος B ib. τῆς] τὰ B 6 sq. ἐπὶχειρίσει A, ἐπιχειρίσει B 7 ταῦτ' C 7 sq. μᾶλλον ἡσυχάσας C 8 τὸν—εἰληφέναι] τῷ νέῳ τῆς ἐκεῖθεν ἀπολήψεως τοῦ εἰληφέναι τῶν εἰδῶν C ib. εἴ τι δὴ A, εἴ τι C ib. βούλοιτο C ib. καὶ δεῖ B, ὅς καὶ C 9 ἐκεῖνος om. C ib. ἐκεῖσε] ταύτῃ C 10 τιμωμένην] τιμίαν C 11 λαβὼν καὶ τοῦ παλατίου] ἀναλαβὼν τῶν ἀνακτόρων τε C ib. ἀπήει πόρρωθεν. τὴν μέντοι σινδόνα post ἐξελθὼν inserit C ib. ταύτην om. C ib. ἀπημπόλησε B ib. κὰκ C 12 μυρρίνης C ib. ἀρωμάτων B ib. δαψιλῶς εἴδη C 13 οὐδὲν BC ib. τοπαράπαν ἐπιστασίαν C 14 ἐπορεύετο B 15 τὴν γῆν C ib. ὀνηθέντα A, ἐωνημένα C 16 ἐκεῖνα—εἴδη] ἤδη ἐκεῖνα εὐώδη καὶ τερπνότατα B, εὐώδη ἐκεῖνα καὶ τερπνότατα εἴδη C ib. ἄνακτι C ib. προσήνεγκε C

18 κραβάτιον (DE) Boiss. 21 ἐάν τι παραστῶ F 22 ἀδείας] τῆς ἀδείας? Ebh. 24 μόνην om. EF

τῆς προσαγωγῆς τοῦτον ἐγκωμιάζειν ἀπήρξατο. ἔφη δὲ καὶ ὁ φιλόσοφος πρὸς αὐτόν· βασιλεῦ, ζῆθι εἰς τὸν αἰῶνα. ἰδού, ὡς ὁρᾷς, τῷ κράτει σου τουτονί μου τὸν παῖδα παρέστησα, ὃν ὁ σὸς ἀστρολόγος περὶ αὐτὴν τὴν τρεισκαιδεκαετίαν τῆς αὐτοῦ ζωῆς ληστρικῆς ἐργασίας μέλλειν κατάρξασθαι προηγόρευσε. καὶ ἰδοὺ νῦν πεντεκαιδεκαετὴς γέγονεν, καὶ οὐδαμῶς κλοπὴν ἐξηργάσατο· λοιπὸν οὖν ψευδὴς ὁ αστρολόγος ἤδη πεφώραται, καὶ αἱ τούτου προρρήσεις ληρώδεις ἀπεδείχθησαν. ὁ δὲ βασιλεὺς ἐκεῖνος περιέργως τῇ ὄψει τοῦ νεανίσκου ἐνατενίσας, ἐπέγνω ὡς ἐκεῖνος ἦν ὁ τὴν διορυγὴν τῇ νυκτὶ ἐργασάμενος κλέπτης καὶ τολμηρῶς εἰσδὺς τὰ βασίλεια καὶ τὴν ἐν τῷ κοιτῶνι αὐτου κλοπὴν ποιησάμε-
A f. 298 νος. καὶ ὑ|πολαβών, οὗτός ἐστιν, ἔφη, ὁ κατὰ τῆς βασιλείας μου εἰσεληλυθὼς κλέπτης. καὶ ἐπιστώθη μᾶλλον ἐπ' αὐτῷ ἡ τοῦ ἀστρολόγου προαγόρευσις. Ἐκ ταύτης μου τῆς διηγήσεως, ὦ κράτιστε βασιλεῦ, γνῶθι ὅτι ἑκάστου τῇ γεννήσει

RETRACTATIO.

νεῖν τὸν βασιλέα. εἶπε δὲ ὁ φιλόσοφος πρὸς αὐτόν· ὦ βασιλεῦ, ζῆθι εἰς τὸν αἰῶνα. ἰδού, καθὼς ὁρᾷς, τῇ βασιλείᾳ σου προσέφερον τὸν παῖδά μου, ὑπὲρ οὗ ὁ ἀστρολόγος σου εἶπεν· ἐν τῷ τρισκαιδεκάτῳ ἔτει τῆς ἡλικίας αὐτοῦ μέλλει ἄρξασθαι τοῦ γενέσθαι ληστής· καὶ νῦν ἰδοὺ πεντεκαίδεκα ἐτῶν γεγονὼς οὐδὲ κἂν κλεψίαν ἐποίησε· καὶ λοιπὸν ὁ ἀστρολόγος σου ψευδὴς φαίνεται, καὶ ἀπὸ τούτου ὅσα φαίνεται προ-
p. 153 λέγων φλυαρίαι ἀπεδείχθησαν νῦν. ὁ δὲ βασιλεὺς ἐπὶ τού|τοις τοῖς λόγοις ἀκριβῶς καὶ μετὰ περιεργείας ἀτενίσας τῷ προσώπῳ τοῦ παιδὸς καὶ τὸ σχῆμα, ἐγνώρισεν ὡς αὐτός ἐστιν ὁ τὸν τοῖχον τρυπήσας καὶ ὡς τολμηρὸς κλέπτης καὶ ἀναίσχυντος τὴν ἐν τῇ στρωμνῇ τοῦ βασιλέως σινδόνα οὗτος ἔκλεψε. καὶ ἀποκριθεὶς ὁ βασιλεὺς εἶπε τῷ φιλοσόφῳ· οὗτός ἐστιν ὁ κατὰ τῆς βασιλείας εἰσελθὼν κλέπτης. καὶ ἀπὸ τούτου μᾶλλον ἐπιστεύθη ἡ τοῦ ἀστρολόγου πρόγνωσις ἀληθὴς εἶναι. Ἀπὸ ταύτης οὖν τῆς διηγήσεως λοιπὸν γίνωσκε, ὦ κράτιστε βασιλεῦ, ὅτι ἑκάστου ἀνθρώπου τῇ γεννήσει χωρισμένη τις ἀπὸ θεοῦ κεῖται τελείωσις ἐγνωσμένη, οὐχ ὁρισμένη ἡμῖν, ἢ εὐτυχίας ἢ ἀτυχίας, ἀλλ' οὐδὲ προτρεπομένη παρὰ θεοῦ· καθὼς καὶ ἐπὶ τῇ γεννήσει τοῦ σοῦ

---

1 προαγωγῆς B ib. ἔφησεν B 2 τουτονί] τουτονὶ δή B 3 τρὶσκὰιδεκαὲτίαν A, τρεισκαιδεκαετὴ B, τρισκαιδεκαετίαν C 4 προηγόρευσεν B 5 πέντεκαὶδεκαὲτῆς A, πεντεκαιδεκαέτης C ib. γέγονεν B, ἐγεγόνει A, γέγονε C ib. ἐξειργάσατο C 5 sq. λοιπόνοῦν A, τοίνυν C 6 ψευθῆς A ib. καὶ ἀβτοῦ τοῦ προρίσεις A 7 ἀπεφάνθησαν C ib. ἐκεῖνος om. C ib. νεάνΐσκου A, νέου B 8 ἐπέγνω] ἐπεγνώκει αὐτόν C ib. ἐκεῖνος ἦν A, οὗτός ἐστιν C ib. ὁ τῆν A, ὁ τὴν ὁ τὴν B 8 sq. κλέπτης καὶ τολμηρός A, καὶ κλέπτης τολμηρὸς B 9 κϊτόνι A 10 ἐστιν om. B ib. κατὰ τῆς βασιλείας μου εἰσεληλυθὼς om. A 11 ἐπιστώθη] ἐπΐθη A 12 ὦ—ὅτι] γνῶθι, ὦ κράτιστε βασιλεῦ, ὡς C

16 οὐδὲ—ἐποίησε citat Du Cange Append. p. 103 17 ψεύστης D 19 τῷ σχήματι Ebh. 25 τοῦ θεοῦ (DE) Boiss. 26 παρατρεπομένη vel ἀποτρεπομένη coni. Ebh. 26 sq. τοῦ υἱοῦ σου (DE) Boiss.

ἰδία τις ἀπόκειται παρὰ θεοῦ ἔκβασις εὐτυχίας καὶ ἀτυχίας· ὥσπερ ἐν μὲν τῇ τοῦ σοῦ υἱοῦ γεννήσει ἀπέβη αὐτῷ ἐσύστερον τὰ εὔχρηστα καὶ ἐπαινετὰ καὶ εὐτυχίας ἀνάμεστα, ἐν δὲ τῇ γεννήσει τοῦ τεχθέντος παιδὸς τῷ φιλοσόφῳ τοῦ βασιλέως ἐκείνου, περὶ οὗ προεδιελαβόμην σοι, ἀπέβη τὰ ἄχρηστα καὶ φευκτέα καὶ ἀπόβλητα καὶ ἀτυχίας πεπληρωμένα.

Ταῦτα τῷ βασιλεῖ Κύρῳ τοῦ Συντίπα διηγησαμένου, φησὶν ὁ βασιλεὺς πρὸς τὸν ἑαυτοῦ παῖδα· φράσον μοι, περιπόθητον|τέκνον, πῶς ἄρα καὶ ποίῳ τρόπῳ B f. 113 ὁ σὸς μυσταγωγὸς Συντίπας τὴν τοσαύτην σε φιλοσοφίαν ἐξεδίδαξεν; ὁ δὲ παῖς τῷ πατρὶ ἀπεκρίνατο· ἐπειδήπερ εἰσέτι, ὦ δέσποτα, περὶ τούτου μαθεῖν συζητεῖς, γνωρίζω αὖθις τῷ κράτει σου ὡς παραλαβών με ἀπὸ σοῦ ὁ ἐμὸς διδάσκαλος καὶ εἰς τὸν αὐτοῦ οἶκον ἀπαγαγὼν, εὐθὺς οἰκίσκον νεωστί μοι ἐδείματο· καὶ τοῦτον ἔσωθεν κοσμίως περιχρίσας καὶ λευκότητι καταγλαΐσας, πάντα ὅσα ἔμελλεν ἐκδιδά|ξαι με ἐν τοῖς τοῦ οἰκίσκου τοίχοις ἀνιστόρησε καὶ γράμμασιν διεστίξατό τε καὶ ἀκριβῶς ἀνετάξατο, οὐ μὴν ἀλλὰ καὶ τὸν ἥλιον καὶ τὴν σελήνην καὶ τοὺς ἀστέρας ἐν τούτοις ἀνεζωγράφησεν. ἐνεχάραξε δὲ τοῖς αὐ-

RETRACTATIO.

υἱοῦ γέγονεν, ὅτι οὐκ ἐν ἀρχῇ τῆς ἡλικίας παιδίον ἔμαθεν, ἀλλ' ὕστερον εἰς ἀνδρὸς ἡλικίαν ἐλθών· συνῆλθον οὖν αὐτῷ τὰ καλὰ καὶ ἐπαινετὰ καὶ εὐτυχίας γέμοντα ἔργα· ἐν δὲ τῇ γεννήσει τοῦ παιδὸς τοῦ φιλοσόφου ἐκείνου, οὗ|εἶχεν ἐκεῖνος ὁ βασι- p. 154 λεὺς, συνῆλθε τῇ τύχῃ αὐτοῦ τὰ μυσαρὰ καὶ ἀτυχίας μεστά.

Ταῦτα τῷ βασιλεῖ Κύρῳ τοῦ Συντίπα διηγησαμένου, φησὶν ὁ βασιλεὺς πρὸς τὸν ἑαυτοῦ παῖδα· εἰπέ μοι, περιπόθητόν μου παιδίον, πῶς ἄρα καὶ ποίῳ τρόπῳ ὁ διδάσκαλός σου Συντίπας τὴν τοσαύτην φιλοσοφίαν ἐδίδαξεν; ὁ δὲ παῖς τῷ πατρὶ ἀπεκρίνατο· ἐπειδήπερ νῦν ἀπὸ τὴν ἀρχὴν ζητεῖς μαθεῖν, ὦ βασιλεῦ, γνωρίζω πάλιν τῷ κράτει σου ὡς παραλαβών με ἀπὸ σοῦ ὁ διδάσκαλος καὶ ἀγαγών με εἰς τὴν οἰκίαν αὐτοῦ, εὐθὺς ἔκτισε νέον οἶκον· καὶ χρίσας αὐτὸν μετὰ λευκοῦ, ἀσβέστου δηλονότι, κατελάμπρυνε τοῦτον. εἶτα ὅσα ἔμελλε τοῦ διδάξαι με, ἱστόρησεν αὐτὰ ἐν τοῖς τοίχοις τοῦ οἴκου καὶ πᾶσαν τὴν ἱστορίαν ἐχώρισε διά γραμμάτων καὶ μετὰ ἀκριβείας ἅπαντα συνετάξατο, καὶ τὸν ἥλιον δὲ καὶ τὴν σελήνην καὶ τοὺς ἀστέρας ἐκεῖ ἐζωγρά-

---

1 ἀπόκειται] ἀπίκει τὰς B ib. καὶ ἀτυχίας om. C ib. ὥσπερ ἐν μὲν] ὥστε B 2 ἐσύστερον ἀπέβη αὐτῶ C 4 περιοῦ A, om. B ib. προελαβόμην B, προδιελαβόμην C ib. φευκταία B 6 σιντίπα A, σΐντύπα B, συντΰπα C ib. φησὶ B 7 φράσαι A ib. ὁποίω C 8 σιντΐπας A, σΐντύπας B ib. ἐξεδίδαξε B 9 εἰσἔτι A, εἰς εστιν B, εἰ σέ τι C ib. σΰζητεῖς etiam C 11 νεωστί μοι] νεὥστίμω A 12 κοσμίος A, κοσμίσας B ib. περιχρώσας A 13 ἔμμελεν A, om. C inserto ἔδει post με ib. οἴκου C ib. ἀνιστόρισε AB ib. γράμμασι C 14 τε] με B 14 sq. καὶ τὴν σελήνην om. A 15 τοῦτοις A, τοῖσδε C

16 παιδίον (DE), παιδὶ ὂν F, παιδίον ὢν Ebh. 17 συνῆλθεν? Ebh. 19 μισαρὰ F 22 σου om. (DE) Boiss. ib. σε post τοσαύτην adiecit Ebh. ib. πατρὶ] παιδὶ F 25 ἀσβέστου δηλονότι seclusit Ebh.

τοῖς τοῦ οἰκήματος τοίχοις καὶ τὰ δέκα κεφάλαια τῆς τε σοφίας τῆς γνώσεως καὶ τῆς διδασκαλίας. ὧν τὸ πρῶτον κεφάλαιον περὶ σκαιοῦ τε καὶ λοιδόρου παρεισάγει ἀνδρὸς, ὃς ὢν μεταξὺ δύο τινῶν εἴτε ὁμαιμόνων εἴτε προσφιλῶν διενέξεις τε καὶ διαμάχας ἀναρριπίζει. τὸ δεύτερον κεφάλαιον περὶ φιλοσόφου παρίστησιν ἀνδρός, ὃς πολλὴν τῷ ἑαυτοῦ προσφιλεῖ ἐμποιεῖ τὴν ὠφέλειαν. τὸ τρίτον κεφάλαιον περὶ δολιόφρονος ἀνδρὸς εἰσηγεῖται, ὃς οὐκ ἐπινυστάζει τῷ κακῷ πώποτε δόλους καὶ σκεωρίας κατὰ τοῦ ἑτέρου συρράπτων, ἐκείνου μὴ εἰδότος. τὸ τέταρτον κεφάλαιον περὶ ἀνδρός ἐστιν ἀπρεπῶς ἑτέρῳ προσονειδίζοντος τὴν ἐκείνου τῷ σώματι ἐνυπάρχουσαν ἐκ λέπρας ἴσως ἀσχημοσύνην. τὸ πέμπτον κεφάλαιον περὶ τοῦ μὴ δεῖν ἀποφαίνεσθαί τινα περί τινος πράγματος ἢ κατηγορίας, πρινὴ τὴν ταύτης διαβεβαιωθείη ἀλήθειαν. τὸ ἕκτον κεφάλαιον περὶ τοῦ μὴ
A f. 299 δεῖν τινὰ ἐπὶ ἄφρονι ἀν|δρὶ καὶ ἰδιωτικῶς ἔχοντι πεποιθέναι. τὸ ἕβδομον κεφάλαιον περὶ φθονεροῦ ἀνδρὸς ἐκδιδάσκει ζηλοτύπως πρὸς ἑτέρους ἄνδρας ἔχοντος διὰ

RETRACTATIO.

φησε. ἔγραψε δὲ καὶ τὰ δέκα κεφάλαια τῆς σοφίας καὶ τῆς γνώσεως καὶ τῆς διδασκα-
p. 155 λίας. ὧν πρῶτον κεφάλαιον| περὶ ἀπαιδεύτου καὶ ὑβριστοῦ ἀνδρός· ὁ γὰρ τοιοῦτος ἄνθρωπος μέσον ἀδελφῶν καὶ φίλων φιλονεικίας καὶ μάχας ἐγείρει. τὸ δεύτερον κεφάλαιον περὶ φιλοσόφου ἐδίδαξεν ἀνδρός· ὁ γὰρ τοιοῦτος ἄνθρωπος μεγάλην ὠφέλειαν ποιεῖ τῷ φίλῳ αὐτοῦ. τὸ τρίτον κεφάλαιον περὶ δολιόφρονος ἀνδρὸς καὶ πονηροῦ, καὶ ὅτι ὁ τοιοῦτος ἄνθρωπος οὐδέποτε ἀγανακτεῖ δόλους κατασκεύαζει καὶ κακοῖς κακὰ συρράπτει κατὰ τοῦ πλησίον, ἐκείνου μὴ γινώσκοντος. τὸ τέταρτον κεφάλαιον ἦν περὶ ἀνθρώπου ὀνειδίζοντος ἀπρεπῶς ἑτέρῳ ἀνθρώπῳ πῶς ἢ ἀπὸ ἀρρωστίας ἢ ἀπὸ ἀσθενείας ἐπισυμβάσης λεπρὸς γέγονεν ἢ ἀφ' ἑτέρου συμβάματος ἀνθρωπίνου ἐν τῷ ἰδίῳ σώματι περιφέρει ἀσχημοσύνην. τὸ πέμπτον, ὡς οὐ πρέπει τινὰ κριτὴν ἢ ἄρχοντα ἢ βασιλέα ἀπόφασιν ποιεῖν περὶ παντὸς πράγματος, πρὶν καλῶς ἀκούσει καὶ ἐξετάσει τὴν τοῦ πράγματος ἀλήθειαν. τὸ ἕκτον κεφάλαιον, ὅτι οὐ πρέπει τινὰ ἐλπίζειν εἰς ἄν-
p. 156 θρωπον ἄφρονα καὶ παντελῶς ἰδιώτην. τὸ ἕβδομον|ἑρμήνευε περὶ ἀνδρὸς φθονεροῦ, ζη-

---

1 τοῦ οἰκήματος A, om. C inserto ἐν καλλωπίσμασι post τοίχοις 2 prius καὶ om. B ib. ὧν A, ὦ B 3 ὃς ὢν] ὅσον A, ὡς B, ὃς C ib. δύον A 4 ἀναριπίζει AB ib. κεφάλαιον om. C 4 sq. ἀνδρὸς παρίστησιν C 5 ὃς A, ὡς B ib. τῷ] τὸ AB ib. προσφιλεῖεν ποιεῖ B 6 κεφάλαιον om. C ib. ὃς A, om. B ib. οὐ|κεπινιστάζει A, οὐκ ἐπι τινὶ στάζει B, οὐκ ἐπινυστάζειν οἶδε C 6 sq. τῶ κακῶ πόπωτε A, πώποτε τοῖς κακοῖς C 7 σκαιωρίας BC ib. συράπτον A 8 κεφάλαιον om. C ib. ἐστι B 9 ἀσχημοσύνην] ἀσχημοσύνήν τινα ἢ ἑτερόν τι τοιόνδε C 10 κεφάλαιον om. C ib. μη δεῖν AC ib. τιναποφαίνεσθαί τινα A ib. in C in v. πράγματος desinit m. pr. in fine versus; a vv. ἢ κατηγορίας versum incipit m. alt.
ϑ,
11 πρινὴ τὴν] πρὶν ἢ τήν C, πρινὴ ἡ? Jernst. ib. βεβαιωθείη B, βεβαιωθίει C ib. ἀλη C,
Δ′ ϰ̀
ἀλήθεια? Jernst. 11 sq. μη τινὰ C, δεῖν τινὰ (om. μὴ) B 12 ἰ'διώτικῶς A, ἰδῖοτι C ib. εὔδομον A, εὖδομον C 13 ζυλοτύπος A, ζυλοτύπως C ib. ἑτέρους AC ib. ἔχοντας B, ἔχοντ(α) C
14 δέκα] ιβ′ E ib. τῆς ter om. D, τῆς ante διδασκαλίας om. etiam F 15 τὸ ante πρῶτον adiecit Ebh. 19 ἀγανακτεῖ] ἀγαπᾷ, ἀεὶ? Jernst., coll. 121,4 ib. κατασκευάζειν? Bursian 20 συρράπτειν? Bursian 22 συμβάματος] συμβάντος F 23 [τ]ὸ ε̅ ὡς F, τὸ ε̅ο̅ν̅ ἕως D

τὸ ἐκείνους χρηστοῦ τινὸς ἐπαπολαύειν ἢ ἀξιεπαίνου τινὸς προτερήματος ἐν μετουσίᾳ τυγχάνειν· ὃς δὴ καὶ βασκαίνων ἐκείνοις ἀνιᾶται μὲν καθ᾽ ἑαυτὸν καὶ τῷ φθόνῳ τήκεται, τοὺς δέ γε διαφθονουμένους κατ᾽ ουδένα τρόπον ἐντεῦθεν λυμαίνεται. τὸ ὄγδοον κεφάλαιον πέφυκεν περὶ τοῦ δεῖν τινὰ πάντας ἀγαπᾶν καὶ μηδαμῶς τῷ κακοποιήσαντι ἀποδιδόναι τὰ ὅμοια. τὸ ἕνατον κεφάλαιον παρίστησιν ὅτι χρὴ καθώς τις θέλει ἵνα ποιῇ αὐτῷ ἕτερος, καὶ αὐτὸν ἐκείνῳ ποιεῖν ὁμοίως. τὸ δέκατον κεφάλαιον δηλοῖ περὶ τοῦ μὴ δεῖν τινα φιλιοῦσθαι | καὶ B f. 114
ἀδελφὰ φρονεῖν τοῖς ἀσεβῶς τῶν πράξεων καὶ τυραννικῶς ἔχουσι καὶ ἀδικίαις καὶ πλεονεξίαις χρωμένοις.

Ταῦτα οὕτως ὁ βασιλεὺς ταῖς ἀκοαῖς παρὰ τοῦ υἱοῦ ἐνηχηθείς, εὐχαριστηρίους τῷ θεῷ λόγους ἀνέπεμπεν καὶ τὸν Συντίπαν διετέλει ἐγκωμιάζων, οὐ μὴν ἀλλὰ καὶ δώροις τὸν ἄνδρα φιλοτίμοις ἐδεξιοῦτο.

RETRACTATIO.

λοτυποῦντος ἄλλους ἀνθρώπους καλῶς πράττοντας καὶ εὐτυχοῦντας, ἢ διότι ἔχουσι προτέρημα ἀξιέπαινον καὶ διὰ τοῦτο πλουτοῦσιν ἢ διότι ἀγωνίζονται περὶ τὸν βίον ἢ διότι ἀπὸ πατέρων ἐκληρονόμησαν· καὶ ὁ ἄνθρωπος ὁρῶν αὐτοὺς φθονεῖ καὶ λυπεῖται καὶ μαραίνεται, διότι μᾶλλον οὐ δύναται βλάψαι αὐτούς. τὸ ὄγδοον κεφάλαιον διδάσκον ἔλεγε· δίκαιόν ἐστι καὶ πρέπον πάντας ἀνθρώπους ἀγαπᾶν καὶ μὴ τῷ κακῶς ποιήσαντι ἀνταποδοῦναι κακόν. τὸ ἔννατον, ὅτι πρέπει ὡς θέλει τις ἵνα ποιῇ ἄνθρωπος εἰς αὐτὸν, καὶ αὐτὸς ποιῇ ἄλλους ὁμοίως. τὸ δέκατον κεφάλαιον συνεβούλευε καὶ μετὰ τῶν ἐργαζομένων τὰ ἀσεβῆ ἔργα καὶ πράξεις κακὰς καὶ δυναστεύοντας τοὺς πτωχοὺς μὴ φιλίαν ὅλως ποιεῖν μηδὲ τὰ ἴσα πράττειν τοῖς ἀδίκοις καὶ πλεονεξίαις καὶ ἁρπαγαῖς χρωμένοις καὶ χαίρουσι.

Ταῦτα ὁ βασιλεὺς ἀκούσας παρὰ τοῦ υἱοῦ, εὐχαριστηρίους λόγους ἀνέπεμπε τῷ θεῷ καὶ | τὸν αὐτοῦ διδάσκαλον ἐκάθητο ἐγκωμιάζων καὶ δώροις πολυτελέσι καὶ φιλο- p. 157
τίμοις ἐδεξιοῦτο τὸν ἄνδρα.

---

1 χρϊστοῦ τῖνᾶ C ib. ἐπαπολάβειν A, ἐπἀπολαβεῖν B ib. ἀξϊἐπαίνου AC 2 ὅς A ὡς C 3 τῷ om. C ib. τίχεται AC ib. φθονουμένους C 4 λημένεται A, λυμενε$^{αι\ τ'}$ C ib. πέφυχ(ε) C ib. τῖνὰς πάντας ἀγαπὰν A, τῖνὰς παν$^{τ'}$ ἀγα$^{π'}$ C 5 τὸ κακοποιήσαντι A, τὸ ποι^{τ}ήσαν κακὸν (τὸ correcto ab altera manu in τὸν) C ib. τὸ] τὸν A pr. ib. ἔν^{τ}να C 6 χρῆ A, χρεῖ C ib. καθῶς AC ib. ποιὲῖ A, ποιεῖ B 7 ποιήση ut vid. C ib. τὸ δὲ δέκατ(ον) C ib. δηλόι A, δει$^{λ'}$ C ib. τοῦ μῆ δεῖν τινὰ A, τοῦ μη$^{Δ'}$ τινὰ C 8 ἀδελφῶ φρονεῖν B, ἀδελφοποιεῖν C ib. τυρανικῶς A, τυρανι$^{χ'}$ C 10 οὗτως A, οὕτω B, οὗτος C pr., corr. οὗτως ib. ταῖς ἀκοὰὶς A, om. C ib. ἐνηχυθεῖς A, ἐνηχυθεις B, ἐνήχη$^{ϑ\sim}$ C 10 sq. εὐχαριστιρίους τὸ C 11 ἀναπέμπει C ib. τὸν σιντίπαν A, τὸν σιντύπαν B, τὸ σϊντίπ(α) C ib. ἐγκωμιάζον C 12 ἀλ'λὰ A, om. B

14 περὶ τὸν] περιττὸν Ebh. 16 βλαίψαι suprascripto βλέψαι D 18 in marg. τοῦτο ἔοικε τῷ εὐαγγελικῷ ῥητῷ DEF 19 ἵνα post αὐτὸν adiecit Ebh. 20 δυναστευόντων Ebh. 21 φιλίαν] λίαν F

Εἶτα λέγει πρὸς τὸν παῖδα οὑτωσί· γνώρισόν μοι, τέκνον ποθεινότατον· ἆρά γε τὰ συμβαίνοντά τινι ἐξ εἱμαρμένης καὶ τύχης συμβαίνειν εἰώθασιν; ὁ δὲ παῖς ἔφη τῷ βασιλεῖ· τοῦτο μὲν οὕτως ἔχειν, ὦ δέσποτα, πολλοὶ τῶν ἀνθρώπων οἴονται· πλὴν τὸ αἴτιον τῶν συμβαινόντων λυπηρῶν ἐκ τῆς τῶν ἀνθρώπων γίνεται μοχθηρίας. οὐ γὰρ δικαίως χρῶνται ταῖς πράξεσιν, ἀλλὰ σκολιῶς καὶ ἀδίκως. ἔθος γάρ ἐστιν αὐτοῖς, ὅταν τινὶ τῶν φιλοσόφων ἀνδρῶν ἐντυγχάνωσι, τῷ τὰ χρηστὰ καὶ δέοντα καὶ λυσιτελῆ συμβουλεύοντι, εἰ μὴ καὶ πλούτῳ κομῶν καὶ τιμῇ διαπρέπων ὁ τοιοῦτος ὑπάρχει, περιφρονεῖν μᾶλλον αὐτὸν καὶ ὡς ἰδιωτικὸν παρορᾶν καὶ μὴ ἕνα τοῦτον ἡγεῖσθαι τῶν φιλοσόφων· διὸ οὐδὲ τὸ οὖς τοῖς ἐκείνου λόγοις τὸ παράπαν ὑποκλίνουσιν. εἰ δέ τις κατὰ τὸν βίον εὐπραγῶν εἴη

RETRACTATIO.

Εἶτα λέγει ὁ βασιλεὺς τῷ παιδὶ οὑτωσί· γνώρισόν μοι, ἐρασμιώτατόν μου παιδίον· ἆρά γε τὰ συμβαίνοντά τινι ἐξ εἱμαρμένης καὶ τύχης τινὸς συμβαίνειν εἴωθεν; ὁ δὲ παῖς ἔφη τῷ βασιλεῖ· πολλοὶ τῶν ἀνθρώπων, ὦ δέσποτα, ὑπολαμβάνουσιν οὕτως ἔχειν· πλὴν πλανώμενοί εἰσιν οἱ οὕτω δοξάζοντες. ἀλλ' ἐμοί γε δοκεῖ ὡς ἡ ἀφορμὴ τῶν λυπηρῶν τῶν ἐπερχομένων τοῖς ἀνθρώποις γίνεται ἐκ τῆς τῶν ἀνθρώπων πλεονεξίας· οὐδὲ γὰρ δικαίως ποιοῦσι τὰς πράξεις αὐτῶν οἱ ἄνθρωποι, ἀλλ' ἀδίκως καὶ πονηρῶς. συνήθεια γάρ ἐστι τοῖς ἀνθρώποις, ὅταν τινὰ τῶν φιλοσόφων καὶ δικαίων ἀνδρῶν εὕρωσι, κἂν τὰ χρηστὰ καὶ ὠφέλιμα συμβουλεύῃ αὐτοῖς, ἔστι δὲ πτωχὸς καὶ οὐ τιμῶσιν αὐτὸν οἱ πλούσιοι, οὐδὲ ὁ κοινὸς λαὸς δοξάζει ἢ ἀκούει ἢ τιμᾷ αὐτόν, οὐδὲ ὡς φιλόσοφον λέγουσι καὶ τιμῶσιν, ἀλλ' ὡς ἰδιώτην παραβλέ-
p. 158 πουσιν, ὡς πτωχόν· ἐὰν δέ τις ἄνθρωπος εἰς | τὴν ζωὴν αὐτοῦ εὐτυχὴς ἦν, τιμῶσιν

---

1 οὗτώσι A ib. γνώρισ'' μοι A, om. C 2 σὺν βένοντ(α) τινὶ ἐξ ἡμαρμένης τύχ(ης) C, om. A ib. σημβαίνειν εἰῶθασιν A, συμβένειν εἰ ὤθασιν C 3 τῶ βασιλεὶ A, in C τὸ (mutatum a m. alt. in τῶ) βασιλ': «hoc autem modo fere omnes v. βασιλεύς casus exprimuntur» Ebh. ib. οὗτως A, οὗτως C ib. ἔχει A 4 οἶονται C ib. συμιαινόντων A 5 σχολλιῶς A 6 εστὶν A, ἐστὶν C ib. τῷ delendum? Jernst. 6 sq. τα χρηστὰ A, τα χρῆστᾶ C 7 λησυτελῆ A, λυσιτελεῖ C ib. εἰ μὶ A, εἰ μὶ C ib. πλοῦτω χομῶν A, πλουτοχομῶν B, πλου$^{—τ}$ χομ(ῶν) C 8 τιμὴ A, μὴ B, τιμῆς C ib. διάπρέπων AC ib. τοιοῦτως AB, τϊοῦτος C ib. αὐτῶν A ib. ἴδιώτιχῶν A, ἰδϊότϊχὸν C 9 ἕνα AC ib. ἡγησ$^{θ'}$ C ib. φιλοσόφον C pr., ab eadem manu corr. ib. οὖδε A ib. οὖς A, οὒς$^{ν'}$ C 10 ἐχει C

13 in marg. εὖγε ὦ παῖ βασιλέως DEF 17 in marg. πάθος ἀναμφίβολον (ἀναφίβ. F) τοῦ χαφᾶ, ἤτοι τῶν ἐγχωρίων DF, σημείωσαι E 18 κἂν τὰ χρηστὰ καὶ ὠφέλιμα om. EF ib. συμβουλεύει D, συμβουλεύῃ E corr. 19 οὐ τιμαῖς διαπρέπων post καὶ adiecit Ebh. 20 ante λέγουσι codicis F librarius scripturus erat αὐτόν, sed delevit ipse inceptum αὐ 21 ὡς πτωχόν seclusit Ebh. ib. ἦν EF, καὶ D, ἡ Boisson. 21 sq. τιμῶσιν—μέσοι seclusit Ebh.

καὶ εὐθηνούμενος καὶ τιμῆς παρὰ πάντων ἀξιούμενος, σοφίας δὲ καὶ συνέσεως παντελῶς ἀπεστέρηται, ἐκείνῳ μᾶλλον οἱ ἄνθρωποι προσανέχουσι, κἂν ἰδιωτικῶς τοῦ νοὸς ἔχει. οὐ καλῶς τοίνυν τοῦτο δρῶσιν οἱ ἄνθρωποι, ἀλλὰ καὶ μάλα κακοτρόπως.

Αὖθις οὖν ὁ βασιλεὺς τὸν υἱὸν ἐπηρώτα· τίνι ἄρα τὸ βασιλεύειν προσήκει; ὁ δὲ παῖς, τῷ συνετῷ, φησί, καὶ ἐχέφρονι, ὡς ἂν ἐντεῦθεν καὶ τὸ ὑπήκοον καλῶς διακυβερνᾶται, καὶ μηδέν τι ἄδικον ὑπό τινος συγχωρῆται γίνεσθαι, μηδ' αὖ ὁ βασιλεύων πρὸ τοῦ τὴν ἀλήθειαν ἐννόμως βεβαιοῦσθαι καταδίκῃ τινὰ καθυποβάλλῃ, καὶ ὅπως τοῖς μὲν εὐθέσι καὶ ἀγαθοῖς ἀγαθὰ ἀποδίδωσι, | τοῖς δὲ A f. 300

RETRACTATIO.

αὐτὸν πάντες πλούσιοι καὶ μέσοι, ἕνι ἐστερημένος πάσης σοφίας καὶ γνώσεως καὶ παιδεύσεως παντελῶς, ἐκείνῳ μάλιστα οἱ ἄνθρωποι προσέρχονται καὶ θαρροῦσι, καὶ ἀκούουσι καὶ τιμῶσι, καὶ μέγαν ἄνθρωπον καλοῦσι σοφὸν διὰ τὸν πλοῦτον. πλανώμενοι γοῦν ὄντες καὶ ἀπαίδευτοι καὶ μωροί, οὐ ποιοῦσι τοῦτο καλῶς, ἀλλὰ κακοτρόπως καὶ ἀπατηλῶς, καὶ μετὰ φενακισμοῦ καὶ ἀναισθησίας. ἀφ' οὗ συμβαίνει τὰς πολλὰς πόλεις ἀσθενεῖν καὶ κινδυνεύειν· οὐδὲ γὰρ συνιστῶσιν οἱ πλούσιοι ἀπαίδευτοι καὶ ἄλογοι καὶ μωροὶ διὰ τοῦ πλούτου, ἀλλ' οἱ σοφοὶ καὶ φρόνιμοι ἀπὸ τῆς διαταγῆς αὐτῶν.

Ὁ οὖν βασιλεὺς ἐπηρώτα τῷ υἱῷ· ποῖα ἄρα τὸν βασιλέα προσήκει ποιεῖν; ὁ δὲ υἱὸς λέγει· τὸ εἶναι συνετὸν καὶ φρόνιμον καὶ ἐμπειρίαν ἐν τοῖς πράγμασιν ἔχοντα καὶ ἐλεημοσύνην πρὸς τὸ καὶ δίκαιος εἶναι· ἀφ' ὧν καὶ ὁ λαὸς ὁ ὑπ' αὐτὸν κυβερνώμενος ἐλεεῖται καὶ οὐκ ἀδικεῖται, οὐχ ὡς ἄρχοντα ἔχων | τὸν βασιλέα, ἀλλ' ἐν p. 159 τάξει πατρός, ὃς καὶ οὐ προσάξει ἀδίκως καὶ ἀνεξετάστως τινὶ τιμωρίαν, ἀλλὰ τοῖς ἀγαθοῖς ἀγαθὰ δώσει, τοῖς δὲ κακοῖς μετ' ἐξετάσεως κακά, καὶ πρὸ πάντων τὸν τοῦ

---

1 εὐθυνούμενος B, εὐθυνούμ(εν)ος C ib. τιμῆς A, τι$^{μ\sim}$ C ib. ἀξιοῦμενος A, ἀξιοῦμ(εν)ος C ib. δὲ om. B 2 sq. οἱ ἄνθρωποι—μάλα om. A 3 τοίνυν om. C ib. μᾶλλα B, μᾶλλ(ον) C 5 ἐπερω^{τ} C ib. τίνα B, τίνη C ib. τῶ B 6 φησίν B ib. ἐντεύθεν A, ἐντευ$^{θ'}$ C, om. B 7 διάκυβερνάται A, διακυβερνα$^{τ'}$ C ib. μηδένα τι A, μηδέ . . . να τί cum rasura 3 litterarum in qua νῶς scriptum fuisse videtur B, μη$^{δ'}$ τί C ib. ὑπό τινος συγχωρεῖσθαι B, ὑπό τινος σΰγχωρῆτ(αι) C ib. μῆδ'ἂν A, μὴδ' αὖ C 8 ἐνόμως A, εὐνόμ(ως) C ib. κατὰδίκη τίνα A, καταδίκην τινὰ B, κ(α)τὰδι$^{κ' ν}$ τι C 8 sq. καθύποβάλλει B, καθυποβα$^{λλ'}$ C 9 ἀπὸδίδω^{σ} A, ἀποδιδῶ vel ἀποδώσει Ebh., ἀποδιδῶνται? Jernst.

10 ἐνι . . στερημένος duarum litterarum spatio relicto F, ἔνι ἐστερημένος cum lacuuula E, ἔνιστερημένος D, δ' post ἔνι adiecit Ebh. 11 παντελῶν ἐκείνων F 12 καὶ ante σοφὸν adiecit Boiss. ib. in marg. τοῦτο ὅλως (ὅλον D) ἁρμόδιον τοῖς ἐγχωρίοις καφᾶ DF 13 γοῦν ὄντες] γοῦντες D 15 συνιστῶσιν αὐτὰς? Ebh. 16 ἀπὸ τῆς] ἀπό τε EF 18 «hic et in sequentibus sunt in D lemmata ἐρώτησις, ἀπόκρισις» Boiss. 20 τῷ Boiss. 21 κυβερνόμενος F ib. ἄρχον^{τ} ἔχον^{τ} EF 22 προσέξει EF

σκαιοῖς καὶ κακοτρόποις τὰ ἀναλογοῦντα λυπηρά, τόν τε τοῦ θεοῦ φόβον πρὸ ὀφθαλμῶν ἔχειε καὶ μηδὲν τοῦ δικαίου λογίζεται προτιμότερον. Ἔφη δὲ πάλιν ὁ βασιλεὺς τῷ υἱῷ· ποία βασιλεία, ὦ τέκνον, ἀσφαλεστέρα καθέστηκεν; καὶ φησὶν ὁ παῖς· ἡ τὸν θεὸν εὐλαβουμένη καὶ τὸ δίκαιον μεταδιώκουσα, ἥτις καὶ τοὺς πένητας οἰκτείρει καὶ τοὺς κακῶς ἔχοντας τῶν ὑπηκόων καὶ βιωτικαῖς περιπετείαις πιεζομένους ἀνακτᾶται καὶ εὐεργετεῖ. Ὁ δὲ βασιλεὺς ἔφη· καὶ ὁποίᾳ δὴ τῇ βασιλείᾳ οἱ ἄνθρωποι ἐπιτέρπονται; ὁ δὲ παῖς, τῇ ἐκ θείας προνοίας γεγενημένῃ, φησί, καὶ τῇ δικαίως πολιτευομένῃ καὶ πάσης ἀγαθοεργίας πρὸς τοὺς ὑπ' αὐτὴν ἀντεχομένῃ.

B f. 115 Αὖθις δὲ ὁ βασιλεὺς παρὰ τοῦ υἱοῦ ἐπυνθάνετο· ἆρά γε, ὦ τέ|κνον, ἡ σοφιστεία τῶν φιλοσόφων τῆς τῶν ἑτέρων περιγίνεται πανουργίας; ὁ δὲ υἱὸς ἔφη τῷ βασιλεῖ· σφόδρα τῆς πανουργίας ἡ γνῶσις περιγίνεται καὶ ἐφ' ἅπασιν αὐτῆς ὑπερτερεῖν δύναται, ἅτε τὰς τῶν πράξεων διαφορὰς ἀσφαλῶς διακρίνουσα καὶ τὰ φύσει καλὰ τῶν ἐναντίων διαιροῦσα· ἡ γὰρ ἐνυπάρχουσά

RETRACTATIO.

θεοῦ φόβον ἔχει διὰ παντὸς πρὸ ὀφθαλμῶν καὶ μηδὲν ἄλλο τι τούτου τιμιώτερον ἡγεῖται. Εἶπε δὲ αὐτῷ πάλιν ὁ βασιλεύς· ποία βασιλεία ἀσφαλεστέρα ἐγένετο; ὁ παῖς εἶπεν· ἡ τὸ δίκαιον καὶ φιλάνθρωπον ζητοῦσα. καὶ τοὺς πένητας ἐλεεῖ καὶ τοὺς δουλεύοντας καὶ ὑποτασσομένους αὐτῷ, καὶ ὑπὸ πειρασμῶν τοῦ κόσμου στενοχωρούμενοι εὑρίσκουσι βοήθειαν καὶ κουφισμὸν δι' εὐεργεσιῶν αὐτοῦ· οὐδὲ γὰρ κατά τι ἄλλο διαφέρει παντὸς ἀνθρώπου ἢ μόνου διὰ τὸ ἐλεεῖν τοὺς δεομένους. Ὁ βασιλεύς· ἐν ποίᾳ βασιλείᾳ οἱ ἄνθρωποι χαίρουσι; καὶ ὁ παῖς· τῇ ἐκ θείας προνοίας πρῶτον γενομένῃ καὶ τῇ δικαίως πολιτευομένῃ καὶ τοὺς ἐχθρούς, ὅση δύναμις, ἀμυνομένῃ καὶ τοὺς ἀγαθοὺς προνοουμένῃ. |

p. 160 Αὖθις ὁ βασιλεὺς ἠρώτησε τὸν υἱόν· ἆρα, ὦ παῖ, ἡ σοφία τῶν φιλοσόφων καὶ ἡ γνῶσις σφόδρα τῆς πανουργίας νικᾷ; ὁ υἱὸς ἔφη· καὶ εἰς ὅλα αὕτη ἡ σοφία τὸ νῖκος ἔχει, διότι γινώσκει καλῶς τὰς τῶν πράξεων διαφορὰς καὶ χωρίζει τὰ φύσει καλὰ ἀπὸ τῶν ἐναντίων· ἡ δὲ πανουργία καὶ πονηρία, ἣν ἔχουσιν οἱ ἄνθρωποι, οὐ φρονήσεως

---

1 κατρόποις A ib. ἀναλϊγοῦντα λοιπηρᾶ. τόν^{τ} C 2 ἔχοιεν B, ἔχειν^{η} C ib. λογίζη^{τ} C ib. προτιμώτερον AC 3 ποῖα C ib. ἀσφαλε^{ςρ} C ib. κα|καθέστηκεν B, καθέστηκ(ε) C 3 sq. καὶ φη(σὶν) ὁ παῖς· ἡ τὸν θεὸν εὐλαβομένη C, om. B 4 ἥτϊς AC 5 οἰκτείρη A, οἰκτειρεῖ B, οἰκτήρας C ib. κακοὺς B ib. ὑποκόων C ib. βϊῶτικαὶς A, βιοτι$^{κ̀}$ C 5 sq. περιπαντοίαις πϊέζόμενος A, περὶ πετίαις πιεζομ(έν)οις C 6 ἀνακτάται A, ἀνάκτατε B, ἀνακτά τε C ib. ἐβεργετὲι A, εὐερ$^{γτϊ'}$ C ib. δὲ om. C ib. ποία B 6 sq. τὴν βασι$^{λ'}$ C 7 θεία προνεία C ib. γεγεννημένη A 8 ἀγαθοέργίας C 9 ἀντεχομένῃ Ebh., ἀντεχομένους AB, ἀντεχομ$^{οις'}$ (littera ο in ultima syllaba ex η ut vid. facta) C 11 posterius τῶν om. B ib. et 12 παραγίνεται B 12 sq. ἐφάπασιν αὐτοῖς AC 13 δύνατ(αι) C, γίνεται B 14 τα φύσει καλλᾶ A, τραφεῖσα καλῶς C ib. τὰ ἐναντία διεροῦσα C

